

# God is Light

## A Koine Greek Tiered Reader of 1 John

David Bester

God is Light: A Greek Tiered Reader © 2025 by David Bester is licensed under CC BY 4.0. To view a copy of this license, visit https://creativecommons.org/licenses/by/4.0/

Original Greek Text: Michael W. Holmes, The Greek New Testament: SBL Edition (Lexham Press; Society of Biblical Literature, 2011–2013), 1 Jn 1-5. Commons Attribution 4.0 International Public License.

All illustrations generated with AI using OpenAI's ChatGPT (DALL·E). Illustrations created in an animation-inspired style reminiscent of classic hand-drawn animation.

David Bester is a lecturer at Christ Seminary, Polokwane, South Africa. Christ Seminary is a ministry of Christ Baptist Church, Polokwane. Visit us at https://christbaptist.co.za/

# Contents


Introduction .......... iv
Κεφάλαιον Ἕν .......... 1
Στοῖχος 1 .......... 2
Στοῖχος 2 .......... 6
Στοῖχοι 3-4 .......... 8
Στοῖχος 5 .......... 11
Στοῖχοι 6–7 .......... 13
Στοῖχοι 8–10 .......... 17
Κεφάλαιον Δύο .......... 19
Στοῖχοι 1–2 .......... 20
Στοῖχοι 3–6 .......... 23
Στοῖχοι 7–8 .......... 27
Στοῖχοι 9–11 .......... 30
Στοῖχοι 12–14 .......... 32
Στοῖχοι 15–17 .......... 36
Στοῖχοι 18–19 .......... 39
Στοῖχοι 20–23 .......... 41
Στοῖχοι 24–25 .......... 44
Στοῖχοι 26–27 .......... 46
Στοῖχοι 28–29 .......... 49
Κεφάλαιον Τρία .......... 51
Στοῖχοι 1–3 .......... 52
Στοῖχοι 4–6 .......... 55

Στοῖχοι 7–8 ... 58
Στοῖχοι 9–10 ... 60
Στοῖχοι 11–15 ... 63
Στοῖχοι 16–17 ... 66
Στοῖχοι 18–19 ... 70
Στοῖχοι 20–22 ... 73
Στοῖχοι 23–24 ... 76
Κεφάλαιον Τέσσαρα ... 79
Στοῖχοι 1–3 ... 80
Στοῖχοι 4–6 ... 83
Στοῖχοι 7–9 ... 85
Στοῖχοι 10–12 ... 87
Στοῖχοι 13–16α ... 90
Στοῖχοι 16β–18 ... 92
Στοῖχοι 19–21 ... 96
Κεφάλαιον Πέντε ... 98
Στοῖχοι 1–5 ... 99
Στοῖχοι 6–9 ... 102
Στοῖχοι 10–12 ... 106
Στοῖχοι 13–15 ... 108
Στοῖχοι 16–17 ... 110
Στοῖχοι 19–21 ... 112
Appendix A: Core Vocabulary List ... 118
Appendix B: Methodology ... 120
Appendix C: Lesson/Group Plan ... 122

# Introduction

## What this Reader Is:

- A tiered text of 1 John.
- It paraphrases the Greek text of 1 John in tiers of increasing complexity.

## What this Reader Is Not:

- It is not inspired scripture. Only the sections titled τὰ ῥήματα τοῦ θεοῦ are the original text of scripture.
- It is not a substitute for grammar classes.

## Why this Reader?

- To provide comprehensible input in Koine at a beginner level.
- To facilitate vocabulary acquisition through repetition.
- To develop skills needed for fluent reading.
- To implement 2LA[1] insights in the field of Biblical Studies.
- To bring enjoyment and ease into learning Greek.
- To supplement grammar translation classes.
- To promote comprehension in Greek, so that students are less likely to commit exegetical fallacies because of atomistic analysis.
- To sensitise readers to the link between form and meaning.
- To force the student to spend time in the target language.

[1] Second Language Acquisition, which is a field of Linguistics.

**How was this Reader made?**

- This reader uses the methodology set out in an article by Sears and Bellestrini called *Adapting antiquity.*[2] See Appendix B.
- This reader is inspired by Carla Hurt's tiered reader of the Aeneid 4, *the Lover's Curse.*[3]

**How To Use This Reader**

- Know the 50 most common words in the Greek New Testament (See Appendix A)
- Have a basic knowledge of Greek Grammar.
- Do not translate the text. Rather, try to understand it directly.
- Always read aloud. Always.
- Revise and reread previous chapters at spaced intervals.
- Read in groups and discuss the comprehension questions. See appendix C.
- Read the book in order.
- In one sitting/group session, read all of the tiers for a chapter, culminating in the original Greek text. Don't do all of the first tier for the entire book.
- Use the lower levels to interpret the higher levels for unfamiliar grammar or words.

---

[2] Lindsay L. Sears and Kevin Ballestrini, "Adapting Antiquity: Using Tiered Texts to Increase Latin Reading Proficiency," *Journal of Classics Teaching* 20, no. 39 (April 2019): 71–77.

[3] Carla Hurt, *The Lover's Curse: A Tiered Reader of Aeneid 4*, ed. Jessica McCormack (Melbourne: Found in Antiquity, 2023).

**Disclaimers**

- A paraphrase has limits. Synonyms, rephrasing, and pictures are not a 100% correspondence in meaning with the original text. I have tried to get as close as possible. But the colour fuchsia will never be 100% pink. Nor is it purple.
- Paraphrasing a text involves a certain level of interpretation. My interpretations, although responsible, are still fallible in my human state. Only the text of scripture is without error.
- A certain level of Bible knowledge is assumed in this reader. For example, I assume that you will know Cain and Able as Adam and Eve's children.
- It is my first time making a resource like this. My *Koine* is far from perfect. My hope is that the reader will make it to the fourth tier for each reading, which should fix whatever I broke.

**Acknowledgements**

Original Greek Text: Michael W. Holmes, The Greek New Testament: SBL Edition (Lexham Press; Society of Biblical Literature, 2011–2013), 1 Jn 1-5. Commons Attribution 4.0 International Public License.

All illustrations generated with AI using OpenAI's ChatGPT (DALL·E). Illustrations created in an animation-inspired style reminiscent of classic hand-drawn animations.

## Glossary of abbreviations and symbols

| | |
|---|---|
| SBL | Society of Biblical Literature |
| Acc | Accusative Case |
| Aor | Aorist Tense |
| Fut | Future Tense |
| Gen | Genitive Case |
| Impf | Imperfect |
| Pres | Present Tense |
| Perf | Perfect Tense |
| Sg/Pl | Singular/Plural |
| = or ~ | Similar / Synonym |
| < > | Opposite / Antonym |
| ; | Greek Question mark |

# Κεφάλαιον Ἕν

# Στοῖχος 1

## Λέξεις




ἡ γυνὴ ἔρχεται **ἀπ’ ἀρχῆς** ἕως τέλους.



ὁ **ὀφθαλμός** (sg) οἱ **ὀφθαλμοί** (pl)



Ἐγὼ **οὐ βλέπω** < > ἐγὼ **βλέπω**

= ἐγὼ **ὁρῶ** (**ἑώρακα**)



**ψηλαφῶ ~ ἅπτω**



**ἡ χείρ (sg) = αἱ χεῖρες (pl)**






**ὁ λόγος**

## Βαθμὸς ἕν

ὁ Ἰησοῦς ἦν ἀπ᾽ ἀρχῆς.
ἡμεῖς ἀκούομεν τοῦ Ἰησοῦ.
οἱ ὀφθαλμοὶ βλέπουσιν εἰς τὸν Ἰησοῦν.
αἱ χεῖρες ἅπτουσιν τοῦ Ἰησοῦ.
ὁ Ἰησοῦς ἐστιν ὁ λόγος τῆς ζωῆς.

## Βαθμὸς δύο

ὁ Ἰησοῦς ἦν ἀπ᾽ ἀρχῆς.
ἡμεῖς ἠκούσαμεν τοῦ Ἰησοῦ.

οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον καὶ ἐθεάσαντο τὸν Ἰησοῦν.
αἱ χεῖρες ἡμῶν ἅπτουσιν τοῦ Ἰησοῦ.
ὁ Ἰησοῦς ἐστιν ὁ λόγος περὶ τῆς ζωῆς

**Βαθμὸς τρία**

ὁ λόγος τῆς ζωῆς ἦν ἀπ’ ἀρχῆς.
ἡμεῖς ἀκηκόαμεν τοῦ λόγου τῆς ζωῆς.
ἡμεῖς ἑωράκαμεν τὸν λόγον τῆς ζωῆς τοῖς ὀφθαλμοῖς ἡμῶν.
ἡμεῖς ἐθεασάμεθα τὸν λόγον τῆς ζωῆς.
καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν τὸν λόγον τῆς ζωῆς.

**Τὰ ῥήματα τοῦ θεοῦ**

1 Ὃ ἦν ἀπ’ ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς—

# Στοῖχος 2

### Λέξεις




ὁ ἄνθρωπος **φανεροῖ** τὸν ἄρτον.
ὁ ἄρτος **ἐφανερώθη** ὑπὸ τοῦ ἀνθρώπου



εἰ τι οὐκ ἔχει ἀρχὴν καὶ οὐκ ἔχει τέλος, **αἰώνιός** ἐστιν. θεὸς **αἰώνιός** ἐστιν.

### Βαθμὸς ἕν

ἡ ζωὴ ἐφανερώθη ἡμῖν.
ἡμεῖς βλέπομεν τὴν ζωήν.
νῦν ἡμεῖς λέγομεν ὑμῖν περὶ τῆς ζωῆς.
ἡ ζωὴ ἦν πρὸς τὸν πατέρα.

### Βαθμὸς δύο

ἡ ζωὴ ἐφανερώθη.
ἡμεῖς ἑωράκαμεν τὴν ζωήν.
νῦν ἡμεῖς λέγομεν ὑμῖν περὶ τῆς ζωῆς τῆς αἰωνίου.
ἡ ζωὴ ἦν πρὸς τὸν πατέρα.
καὶ ἡ ζωὴ ἐφανερώθη ἡμῖν.

### Βαθμὸς τρία

ἡ ζωὴ ἐφανερώθη.
καὶ ἡμεῖς ἑωράκαμεν τὴν ζωήν.
καὶ ἡμεῖς μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον.
ἡ ζωὴ ἦν πρὸς τὸν πατέρα.
καὶ ἡ ζωὴ ἐφανερώθη ἡμῖν.

### Τὰ ῥήματα τοῦ θεοῦ

2 καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν—

# Στοῖχοι 3-4

**Λέξεις**










= ἡ **χαρά** ἐστιν πεπληρωμένη




**Βαθμὸς ἕν**

ἡμεῖς ἑωράκαμεν τὸν Ἰησοῦν.
ἡμεῖς ἠκούσαμεν τοῦ Ἰησοῦ.
νῦν ἡμεῖς λέγομεν ὑμῖν περὶ τοῦ Ἰησοῦ.
ὑμεῖς ἔχετε κοινωνίαν μεθ’ ἡμῶν, εἰ ἀκούεις τι λέγομεν.
ἡ κοινωνία ἡμῶν ἐστὶν μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ.
γράφομεν περὶ τοῦ Ἰησοῦ ἵνα χαίρωμεν.

**Βαθμὸς δύο**

ἡμεῖς ἑωράκαμεν καὶ ἠκούσαμεν τοῦ Ἰησοῦ.
ἡμεῖς ἀπαγγέλλομεν τὸν Ἰησοῦν ὑμῖν.
ὑμεῖς ἔχετε κοινωνίαν μεθ’ ἡμῶν, εἰ ἀκούεις τί λέγομεν ὑμῖν.
ἡ κοινωνία ἡμῶν ἐστιν μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ.
γράφομεν περὶ Ἰησοῦ ἵνα χαίρωμεν.

## Βαθμὸς τρία

ἡμεῖς ἀπαγγέλλομεν ὑμῖν ὃ ἡμεῖς ἑωράκαμεν καὶ ἀκηκόαμεν.
ἡμεῖς ἀπαγγέλλομεν ἵνα καὶ ὑμεῖς ἔχητε κοινωνίαν μεθ' ἡμῶν.
ἡ κοινωνία δὲ ἡ ἡμετέρα ἐστὶν μετὰ τοῦ πατρὸς.
καὶ ἡ κοινωνία ἐστὶν μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ.
καὶ ἡμεῖς γράφομεν ταῦτα.
ἡμεῖς γράφομεν ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.

## Τὰ ῥήματα τοῦ θεοῦ

3 ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν καὶ ὑμῖν, ἵνα καὶ ὑμεῖς
κοινωνίαν ἔχητε μεθ' ἡμῶν. καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ
πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. 4 καὶ ταῦτα
γράφομεν ἡμεῖς ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.

# Στοῖχος 5

## Λέξεις







εἰ **φῶς** οὐκ ἔστιν, **σκοτία** ἔστιν.

### Βαθμὸς ἕν

Ἰησοῦς λέγει πρὸς ἡμᾶς.
Ἰησοῦς λέγει "θεός ἐστιν φῶς" καὶ "σκοτία οὐκ ἔστιν πρὸς τὸν θεόν."
ἡμεῖς ἀκούομεν τὴν ἀγγελίαν.
ἡμεῖς λέγομεν τὴν ἀγγελίαν πρὸς ὑμᾶς.

### Βαθμὸς δύο

Αὕτη ἐστὶν ἡ ἀγγελία.
ἡμεῖς ἠκούσαμεν ἀγγελίαν ἀπὸ Ἰησοῦ.
ἡμεῖς λέγομεν τὴν ἀγγελίαν πρὸς ὑμᾶς.
ἡ ἀγγελία ἐστιν: "ὁ θεὸς ἐστιν φῶς…" καὶ "σκοτία οὐκ ἔστιν ἐν θεῷ"

### Βαθμὸς τρία

Καὶ αὕτη ἔστιν ἡ ἀγγελία.
ἡμεῖς ἀκηκόαμεν τὴν ἀγγελίαν ἀπ' αὐτοῦ.
καὶ ἡμεῖς ἀναγγέλλομεν τὴν ἀγγελίαν ὑμῖν.
ἡ ἀγγελία ἐστὶν ὅτι ὁ θεός ἐστιν φῶς.
καὶ ἡ ἀγγελία ἐστὶν ὅτι σκοτία οὐκ ἔστιν ἐν αὐτῷ οὐδεμία.

### Τὰ ῥήματα τοῦ θεοῦ

Καὶ ἔστιν αὕτη ἡ ἀγγελία ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ θεὸς φῶς ἐστιν καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία.

# Στοῖχοι 6–7

## Λέξεις




ὁ ἄνθρωπος **περιπατεῖ** ἐν τῇ ὁδῷ.



Ἐγὼ **ψεύδομαι.** ἐγὼ εἰμι ψεύστης.[4]
Εἰ ἐγὼ **ψεύδομαι**, ἐγὼ οὐ λέγω τὴν **ἀλήθειαν.**

[4] No amount of counselling will get this image out of your nightmares.



**τὸ αἶμα**



**Καθαρίζω** τὰς χεῖρας.[5]

[5] Yep, three thumbs.




**ἁμαρτάνω** = ἐγὼ ποιῶ **ἁμαρτίαν**.[6]
εἰ ἐγὼ ψεύδομαι, **ἁμαρτάνω.**

## Βαθμὸς ἕν

εἰ ἐγὼ περιπατῶ ἐν σκότει,
οὐκ ἔχω κοινωνίαν μετὰ θεοῦ.
οὐ λαλῶ τὴν ἀλήθειαν.
οὐ περιπατῶ ἐν ἀληθείᾳ·

θεός ἐστιν ἐν φωτί.
εἰ ἐγὼ περιπατῶ ἐν φωτί.
ἐγὼ ἔχω κοινωνίαν μεθ' ὑμῶν.
Καὶ ὑμεῖς ἔχετε κοινωνίαν μεθ' ἡμῶν.
καὶ τὸ αἷμα Ἰησοῦ καθαρίζει ἡμᾶς ἀπὸ ἁμαρτίας.

## Βαθμὸς δύο

εἰ ἡμεῖς λέγομεν: "ἡμεῖς ἔχομεν κοινωνίαν μετὰ θεοῦ"...
ἀλλὰ ἡμεῖς περιπατοῦμεν ἐν τῷ σκότει...
ἡμεῖς οὐ λαλοῦμεν τὴν ἀλήθειαν.
Καὶ ἡμεῖς οὐ περιπατοῦμεν ἐν ἀληθείᾳ.

[6] Yep, right hand on left arm. Ai was cursed during the illustration of this chapter.

εἰ ἡμεῖς περιπατοῦμεν ἐν τῷ φωτί.
(θεός ἐστιν ἐν τῷ φωτί)
ἡμεῖς ἔχομεν κοινωνίαν μετ᾽ ἀλλήλων.
καὶ τὸ αἷμα Ἰησοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

**Βαθμὸς τρία**

Ἐὰν ἡμεῖς εἴπωμεν ὅτι ἡμεῖς ἔχομεν κοινωνίαν μετ᾽ αὐτοῦ.
καὶ ἡμεῖς περιπατῶμεν ἐν τῷ σκότει.
ἡμεῖς ψευδόμεθα.
καὶ ἡμεῖς οὐ ποιοῦμεν τὴν ἀλήθειαν·

ἐὰν ἡμεῖς περιπατῶμεν ἐν τῷ φωτὶ.
(αὐτός ἐστιν ἐν τῷ φωτί)
ἡμεῖς ἔχομεν κοινωνίαν μετ᾽ ἀλλήλων.
καὶ τὸ αἷμα Ἰησοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

**Τὰ ῥήματα τοῦ θεοῦ**

6 Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ᾽ αὐτοῦ καὶ ἐν τῷ σκότει
περιπατῶμεν, ψευδόμεθα καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν· 7 ἐὰν ἐν τῷ
φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν ἔχομεν
μετ᾽ ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ
πάσης ἁμαρτίας.

# Στοῖχοι 8–10

**Βαθμὸς ἕν**

εἰ ἡμεῖς λέγομεν: “οὐκ ἁμαρτάνω”
ἡμεῖς ψευδόμεθα εἰς ἡμᾶς.
ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν.
θεός ἐστιν πιστός (πάντα ἅ θεὸς λέγει, ποιεῖ).
θεός ἐστιν δίκαιος (θεὸς οὐχ ἁμαρτάνει)
εἰ λέγομεν “ἁμαρτάνω”
Θεός ἀφήσει τὴν ἁμαρτίαν.
Θεός καθαριεῖ ἡμᾶς ἀπὸ ἀδικίας (ἄδικος < > δίκαιος).
εἰ ἡμεῖς λέγομεν: “οὐ ποιοῦμεν μίαν ἁμαρτίαν ἀπ’ ἀρχῆς”
ἡμεῖς λέγομεν: “θεὸς ψεύδεται”
ὁ λόγος τοῦ θεοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

**Βαθμὸς δύο**

εἰ ἡμεῖς λέγομεν: “οὐκ ἔχομεν ἁμαρτίαν.”
ἡμεῖς ψευδόμεθα ἑαυτοὺς.
καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν.
εἰ λέγομεν “ἔχομεν ἁμαρτίαν”
θεός ἀφήσει τὰς ἁμαρτίας ἡμῶν.
καὶ Θεός καθαριεῖ ἡμᾶς ἀπὸ πάσης ἀδικίας.
θεός γὰρ ἐστιν πιστὸς καὶ δίκαιος.
εἰ ἡμεῖς λέγομεν: “οὐχ ἡμαρτήκαμεν”
ἡμεῖς λέγομεν: “θεὸς ψεύδει”
ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

**Βαθμὸς τρία**

ἐὰν ἡμεῖς εἴπωμεν ὅτι οὐκ ἔχομεν ἁμαρτίαν.
ἡμεῖς πλανῶμεν ἑαυτούς.
καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν.
ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν.
θεός ἐστιν πιστὸς καὶ δίκαιος ἵνα ἀφῇ τὰς ἁμαρτίας ἡμῖν καὶ
καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας.
ἐὰν ἡμεῖς εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν,
ποιοῦμεν αὐτὸν ψεύστην.
ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

**Τὰ ῥήματα τοῦ θεοῦ**

8 ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν καὶ ἡ
ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. 9 ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν,
πιστός ἐστιν καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ
ἡμᾶς ἀπὸ πάσης ἀδικίας. 10 ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν,
ψεύστην ποιοῦμεν αὐτὸν καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

# Κεφάλαιον Δύο

# Στοῖχοι 1–2

## Λέξεις




τεκνία ~ τέκνα μικρά



ὁ παράκλητος




ὁ Ἰησοῦς ἐστιν ὁ **ἱλασμὸς** τῷ θεῷ περὶ τῶν ἁμαρτιῶν ἡμῶν.



μέρος < > **ὅλος** **ὁ κόσμος**

**Βαθμὸς ἕν**

Τέκνα μικρά μου!
Ἐγὼ γράφω ὑμῖν ἵνα μὴ ἁμάρτητε.
Εἰ τις ἁμαρτάνει, ἡμεῖς ἔχομεν παράκλητον.
ὁ παράκλητός ἐστιν πρὸς τὸν πατέρα.
ὁ Ἰησοῦς ἐστιν ὁ παράκλητος.
ὁ Ἰησοῦς ἐστιν δίκαιος.
ὁ Ἰησοῦς ἐστιν ἱλασμὸς περὶ τῶν ἁμαρτιῶν ἡμῶν.
καὶ ὁ Ἰησοῦς ἐστιν ἱλασμὸς περὶ ὅλου τοῦ κόσμου.

**Βαθμὸς δύο**

Τέκνα μικρά μου!
Ἐγὼ γράφω ταῦτα ὑμῖν ἵνα μὴ ἁμάρτητε.
Εἴ τις ἁμαρτάνει, ἡμεῖς ἔχομεν παράκλητον.
ὁ παράκλητος ἡμῶν ἐστιν πρὸς τὸν πατέρα.
ὁ Ἰησοῦς ἐστιν ὁ παράκλητος ἡμῶν.
ὁ Ἰησοῦς ἐστιν δίκαιος.
ὁ Ἰησοῦς ἐστιν ἱλασμὸς περὶ τῶν ἁμαρτιῶν ἡμῶν.
οὐκ ἐστιν ἱλασμὸς περὶ τῶν ἁμαρτιῶν ἡμῶν μόνον.
ἀλλὰ ὁ Ἰησοῦς ἐστιν ἱλασμὸς περὶ ὅλου τοῦ κόσμου.

**Βαθμὸς τρία**

Τεκνία μου!
Ἐγὼ γράφω ταῦτα ὑμῖν ἵνα μὴ ἁμάρτητε.
ἐάν τις ἁμάρτῃ, ἡμεῖς ἔχομεν παράκλητον πρὸς τὸν πατέρα
—Ἰησοῦν Χριστὸν δίκαιον.
αὐτός ἐστιν ἱλασμός περὶ τῶν ἁμαρτιῶν ἡμῶν.
αὐτὸς οὐκ ἔστιν ἱλασμός περὶ τῶν ἡμετέρων δὲ μόνον
ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.

**Τὰ ῥήματα τοῦ θεοῦ**

1 Τεκνία μου, ταῦτα γράφω ὑμῖν ἵνα μὴ ἁμάρτητε. καὶ ἐάν τις ἁμάρτῃ,
παράκλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον,
2 καὶ
αὐτὸς ἱλασμός ἐστιν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων
δὲ μόνον ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.

# Στοῖχοι 3–6

**Λέξεις**






**ἡ ἐντολή** (sg) — τὰς ἐντολὰς (pl)



**τηρῶ** = ἀκούω καὶ ποιῶ




Τὸ κυνάριον **μένει.**

Τὸ κυνάριον **τηρεῖ** τὴν ἐντολήν τῆς γυναικός**.**



ὁ ἄνθρωπος περιπατεῖ **μετὰ** κυναρίου

ὁ ἄνθρωπος περιπατεῖ **καθὼς** κυναρίου.

**Βαθμὸς ἕν**

Εἰ ἡμεῖς τηροῦμεν τὰς ἐντολὰς τοῦ θεοῦ, ἡμεῖς γινώσκομεν τὸν Θεόν ἀπ᾽ ἀρχῆς ἕως τοῦ νῦν.
ἡμεῖς γινώσκομεν τοῦτο.
ἐγώ εἰμι ψεύστης, εἰ λέγω: "ἐγὼ γινώσκω θεὸν" καὶ ἐγὼ οὐ τηρῶ τὰς ἐντολὰς αὐτοῦ.
Εἰ ἐγὼ ποιῶ τοῦτο, ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἐμοί.
ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται ἐν ἀνθρώπῳ, εἰ αὐτὸς τηρῇ τὸν λόγον θεοῦ.
Εἰ ἡμεῖς τηροῦμεν τὸν λόγον θεοῦ, γινώσκομεν ὅτι ἡμεῖς ἐσμεν ἐν αὐτῷ.
Εἰ ἐγὼ λέγω: "ἐγώ εἰμι ἐν θεῷ" περιπατήσω καθὼς Ἰησοῦς περιπατεῖ.

**Βαθμὸς δύο**

Εἰ ἡμεῖς τηροῦμεν τὰς ἐντολὰς τοῦ θεοῦ, ἡμεῖς γινώσκομεν ὅτι ἐγνώκαμεν τὸν θεόν.
ἐγώ εἰμι ψεύστης, εἰ λέγω: "ἐγὼ ἔγνωκα θεὸν" καὶ οὐ τηρῶ τὰς ἐντολὰς αὐτοῦ.
ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἐμοί.
Εἰ τις τηρῇ τὸν λόγον θεοῦ, ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται ἀληθῶς ἐν τούτῳ τῷ ἀνθρώπῳ.
ἡμεῖς οὖν γινώσκομεν ὅτι ἡμεῖς ἐσμεν ἐν αὐτῷ.
Εἰ λέγω: "ἐγὼ μένω ἐν αὐτῷ" περιπατήσω καθὼς Ἰησοῦς—καὶ αὐτός—περιεπάτησεν.

**Βαθμὸς τρία**

Καὶ ἡμεῖς γινώσκομεν ἐν τούτῳ ὅτι ἐγνώκαμεν αὐτόν.
ἐὰν ἡμεῖς τηρῶμεν τὰς ἐντολὰς αὐτοῦ.

ὁ λέγων ὅτι ἐγὼ ἔγνωκα αὐτὸν καὶ μὴ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐκεῖνός ἐστιν ψεύστης.
καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν τούτῳ.
ὃς δ’ ἂν τηρῇ τὸν λόγον αὐτοῦ, ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται ἀληθῶς ἐν τούτῳ.
ἡμεῖς γινώσκομεν ἐν τούτῳ ὅτι ἡμεῖς ἐσμεν ἐν αὐτῷ.
ὁ λέγων μένειν ἐν αὐτῷ ὀφείλει περιπατεῖν καθὼς ἐκεῖνος περιεπάτησεν καὶ αὐτὸς.

**Τὰ ῥήματα τοῦ θεοῦ**

3 Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς ἐντολὰς
αὐτοῦ τηρῶμεν.
4 ὁ λέγων ὅτι Ἔγνωκα αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ
μὴ τηρῶν ψεύστης ἐστίν, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν·
5 ὃς δ’ ἂν
τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ
τετελείωται. ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμεν·
6 ὁ λέγων ἐν
αὐτῷ μένειν ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησεν καὶ αὐτὸς
περιπατεῖν.

# Στοῖχοι 7–8

## Λέξεις



παλαιάν **< > καινήν**

**Ἀγαπητοί!** εἰ ἀγαπῶ ὑμᾶς, ἀγαπητοί ἐστε ἐμοί.

**ἀληθές.** εἰ λαλῶ τὴν ἀληθείαν, οἱ λόγοι μου εἰσὶν **ἀληθεῖς**.



ὁ πατήρ **παράγεται**.

**Βαθμὸς ἕν**

Ἀγαπητοί!
ἐγὼ οὐ γράφω ἐντολὴν καινὴν.
ἡ ἐντολή ἐστιν παλαιά.
ὑμεῖς ἔχετε τὴν ἐντολὴν ἀπ᾽ ἀρχῆς.
ὑμεῖς ἠκούσατε τὴν ἐντολὴν.
ἀλλὰ ἡ ἐντολή ἐστιν καινήν.
ἡ ἐντολή ἐστιν ἀληθὲς ἐν τῷ Ἰησοῦ καὶ ἐν ὑμῖν.
ἡ σκοτία παράγεται καὶ τὸ φῶς φαίνει.

**Βαθμὸς δύο**

Ἀγαπητοί!
ἐγὼ οὐ γράφω ἐντολὴν καινὴν ὑμῖν.
ἐγὼ γράφω ἐντολὴν παλαιάν.
ὑμεῖς ἔχετε τὴν ἐντολὴν ἀπ᾽ ἀρχῆς.
ὑμεῖς ἠκούσατε τὴν ἐντολὴν.
ἀλλὰ ἡ ἐντολή ἐστιν καινήν.
ἡ ἐντολή ἐστιν ἀληθὲς ἐν τῷ Ἰησοῦ καὶ ἐν ὑμῖν.
ὅτι ἡ σκοτία παράγεται καὶ τὸ φῶς φαίνει νῦν.

## Βαθμὸς τρία

Ἀγαπητοί!
ἐγὼ οὐ γράφω ἐντολὴν καινὴν ὑμῖν.
ἀλλά ἐγὼ γράφω ἐντολὴν παλαιάν.
ὑμεῖς εἴχετε τὴν ἐντολὴν ἀπ᾽ ἀρχῆς.
ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος ὃν ἠκούσατε.
πάλιν ἐγὼ γράφω ἐντολὴν καινὴν ὑμῖν.
ἡ ἐντολή ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν.
ὅτι ἡ σκοτία παράγεται.
καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει.

## Τὰ ῥήματα τοῦ θεοῦ

7 Ἀγαπητοί, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν ἀλλ᾽ ἐντολὴν παλαιὰν
ἣν εἴχετε ἀπ᾽ ἀρχῆς· ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος ὃν ἠκούσατε.
8 πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν
ὑμῖν, ὅτι ἡ σκοτία παράγεται καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει.

# Στοῖχοι 9–11

### Λέξεις




**ἀδελφός**—ἀδελφός ἐστιν ὁ υἱὸς τοῦ πατρός μου.
ἀδελφός < > ἀδελφή

**μισῶ**—εἰ ἐγὼ οὐ ἀγαπῶ τὸν ἀδελφόν μου, ἐγὼ μισῶ αὐτόν.

**ἐτύφλωσεν**—εἰ οὐ βλέπω, ἐγὼ τυφλός εἰμι. Εἰ ποιῶ τινα τυφλός, ἐγὼ **ἐτύφλωσα** αὐτόν.

**ὑπάγω**—οὐκ ἔρχομαι πρὸς σε, ἀλλὰ ὑπάγω ἀπὸ σοῦ.

### Βαθμὸς ἕν

ἐγώ οὐκ εἰμὶ ἐν τῷ φωτί, εἰ μισῶ τὸν ἀδελφόν μου.
ἐγὼ οὐκ εἰμὶ ἐν τῷ φωτί, ἀλλὰ ἐν τῇ σκοτίᾳ.
ἐγώ εἰμι ἐν τῷ φωτὶ, εἰ ἀγαπῶ τὸν ἀδελφόν μου.
ἐγώ οὐκ ἔχω σκάνδαλον ἐν ἐμοί.
Εἰ μισῶ τὸν ἀδελφόν μου, ἐγώ εἰμι ἐν τῇ σκοτίᾳ.
ἐγὼ περιπατῶ ἐν τῇ σκοτίᾳ.

ἐγὼ οὐ γινώσκω ποῦ ὑπάγω.
ἡ σκοτία ἐτύφλωσεν τοὺς ὀφθαλμούς μου.

### Βαθμὸς δύο

Εἰ λέγω "ἐγώ εἰμι ἐν τῷ φωτὶ" καὶ μισῶ τὸν ἀδελφόν μου, ἐγώ εἰμι ἐν τῇ σκοτίᾳ ἕως τοῦ νῦν.
Εἰ ἀγαπῶ τὸν ἀδελφόν μου, ἐγώ εἰμι ἐν τῷ φωτί.
οὐκ ἔστιν σκάνδαλον ἐν ἐμοί.
Εἰ μισῶ τὸν ἀδελφόν μου, ἐγώ εἰμι ἐν τῇ σκοτίᾳ.
ἐγὼ περιπατῶ ἐν τῇ σκοτίᾳ.
ἐγὼ οὐ γινώσκω ποῦ ὑπάγω.
ἡ σκοτία ἐτύφλωσεν τοὺς ὀφθαλμούς μου.

### Βαθμὸς τρία

ὁ λέγων εἶναι ἐν τῷ φωτὶ καὶ μισῶν τὸν ἀδελφὸν αὐτοῦ,
ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι.
ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ μένει ἐν τῷ φωτί.
καὶ οὐκ ἔστιν σκάνδαλον ἐν αὐτῷ.
ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἐστὶν ἐν τῇ σκοτίᾳ.
καὶ περιπατεῖ ἐν τῇ σκοτίᾳ.
καὶ οὐκ οἶδεν ποῦ ὑπάγει.
ὅτι ἡ σκοτία ἐτύφλωσεν τοὺς ὀφθαλμοὺς αὐτοῦ.

### Τὰ ῥήματα τοῦ θεοῦ

[9] ὁ λέγων ἐν τῷ φωτὶ εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν ἐν τῇ
σκοτίᾳ ἐστὶν ἕως ἄρτι. [10] ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ φωτὶ
μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν· [11] ὁ δὲ μισῶν τὸν ἀδελφὸν
αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστὶν καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ καὶ οὐκ οἶδεν
ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσεν τοὺς ὀφθαλμοὺς αὐτοῦ.

# Στοῖχοι 12–14

## Λέξεις



ἡ γυνὴ **ἀφίησιν** τὸν ἄνθρωπον.




**τὸ ὄνομα**

**παιδία** ~ τεκνία ~ τέκνα μικρά



**ὁ νεανίσκος**




**νικῶ**

**Βαθμὸς ἕν**

Τέκνα μικρά! ἐγὼ γράφω ὑμῖν,
    ὅτι θεὸς ἀφίησιν τὰς ἁμαρτίας ὑμῖν
    διὰ τὸ ὄνομα τοῦ Ἰησοῦ
Πατέρες! ἐγὼ γράφω ὑμῖν,
    ὅτι ὑμεῖς γινώσκετε τὸν Ἰησοῦν
Νεανίσκοι! ἐγὼ γράφω ὑμῖν,
    ὅτι ὑμεῖς νικήσατε τὸν Σατανᾶν.
Παιδία! ἐγὼ γράφω ὑμῖν,
    ὅτι ὑμεῖς γινώσκετε τὸν θεόν.

Πατέρες! ἐγὼ γράφω ὑμῖν,
    ὅτι ὑμεῖς γινώσκετε τὸν Ἰησοῦν.
Νεανίσκοι! ἐγὼ γράφω ὑμῖν,
    ὅτι ὑμεῖς ἐστε ἰσχυροί
    καὶ ὁ λόγος ἐστιν ἐν ὑμῖν ἕως τοῦ νῦν
    καὶ νικήσατε τὸν Σατανᾶν.

**Βαθμὸς δύο**

Τέκνα μικρά! ἐγὼ γράφω ὑμῖν,
    ὅτι θεὸς ἀφίησιν τὰς ἁμαρτίας ὑμῖν
    διὰ τὸ ὄνομα τοῦ Ἰησοῦ.
Πατέρες! ἐγὼ γράφω ὑμῖν,
    ὅτι ὑμεῖς γινώσκετε τὸν Ἰησοῦν
Νεανίσκοι! ἐγὼ γράφω ὑμῖν,
    ὅτι ὑμεῖς νικήσατε τὸν Σατανᾶν.
Παιδία! ἐγὼ γράφω ὑμῖν,
    ὅτι ὑμεῖς γινώσκετε τὸν πατέρα.
Πατέρες! ἐγὼ γράφω ὑμῖν,
    ὅτι ὑμεῖς γινώσκετε τὸν Ἰησοῦν.
Νεανίσκοι! ἐγὼ γράφω ὑμῖν,
    ὅτι ὑμεῖς ἐστε ἰσχυροί
    καὶ ὁ λόγος τοῦ θεοῦ μένει ἐν ὑμῖν
    καὶ νενικήκατε τὸν πονηρόν.

**Βαθμὸς τρία**

ἐγὼ γράφω ὑμῖν, τεκνία,
    ὅτι αἱ ἁμαρτίαι ἀφέωνται ὑμῖν
    διὰ τὸ ὄνομα αὐτοῦ.
ἐγὼ γράφω ὑμῖν, πατέρες,

ὅτι ὑμεῖς ἐγνώκατε τὸν ἀπ’ ἀρχῆς.
ἐγὼ γράφω ὑμῖν, νεανίσκοι,
ὅτι ὑμεῖς νενικήκατε τὸν πονηρόν.
ἐγὼ ἔγραψα ὑμῖν, παιδία,
ὅτι ὑμεῖς ἐγνώκατε τὸν πατέρα.
ἐγὼ ἔγραψα ὑμῖν, πατέρες,
ὅτι ἐγνώκατε τὸν ἀπ’ ἀρχῆς.
ἐγὼ ἔγραψα ὑμῖν, νεανίσκοι,
ὅτι ὑμεῖς ἐστε ἰσχυροί
καὶ ὁ λόγος τοῦ θεοῦ μένει ἐν ὑμῖν
καὶ νενικήκατε τὸν πονηρόν.

**Τὰ ῥήματα τοῦ θεοῦ**

12 Γράφω ὑμῖν, τεκνία,
ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι
διὰ τὸ ὄνομα αὐτοῦ·
13 γράφω ὑμῖν, πατέρες,
ὅτι ἐγνώκατε τὸν ἀπ’ ἀρχῆς·
γράφω ὑμῖν, νεανίσκοι,
ὅτι νενικήκατε τὸν πονηρόν.
14 ἔγραψα ὑμῖν, παιδία,
ὅτι ἐγνώκατε τὸν πατέρα·
ἔγραψα ὑμῖν, πατέρες,
ὅτι ἐγνώκατε τὸν ἀπ’ ἀρχῆς·
ἔγραψα ὑμῖν, νεανίσκοι,
ὅτι ἰσχυροί ἐστε
καὶ ὁ λόγος τοῦ θεοῦ ἐν ὑμῖν μένει
καὶ νενικήκατε τὸν πονηρόν.

# Στοῖχοι 15–17

## Λέξεις



ἡ ἐπιθυμία





**ἀλαζονεία τοῦ βίου**

**θέλημα.** ὁ Ἰησοῦς εἶπεν τῷ πατρί ἐν Γεθσημανί· οὐκ ὡς ἐγὼ **θέλω**, ἀλλ' ὡς σὺ **θέλεις**. ὁ Ἰησοῦς ἐποίησεν **τὸ θέλημα** τοῦ πατρός ἐν τῷ κόσμῳ.

### Βαθμὸς ἕν

ὑμεῖς μὴ ἀγαπᾶτε τὸν κόσμον.
ὑμεῖς μη ἀγαπᾶτε ἅ ἐστιν ἐν τῷ κόσμῳ.
εἰ ἐγὼ ἀγαπῶ τὸν κόσμον, οὐκ ἀγαπῶ τὸν θεόν.
ὁ κόσμος οὐκ ἔστιν ἐκ τοῦ πατρός.
ἡ ἐπιθυμία τῆς σαρκός ἐστιν ἐκ τοῦ κόσμου.
ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν ἐστίν ἐκ τοῦ κόσμου.
ἡ ἀλαζονεία τοῦ βίου ἐστὶν ἐκ τοῦ κόσμου.
ταῦτα ἐστὶν ἐκ τοῦ κόσμου.
ὁ κόσμος καὶ ἡ ἐπιθυμία αὐτοῦ οὐκ ἔσται εἰς τὸν αἰῶνα.
Εἰ ἐγὼ ποιῶ τὸ θέλημα τοῦ θεοῦ, ἔσομαι εἰς τὸν αἰῶνα.

### Βαθμὸς δύο

ὑμεῖς μὴ ἀγαπᾶτε τὸν κόσμον.
καὶ μη ἀγαπᾶτε ἅ ἐστιν ἐν τῷ κόσμῳ.
εἰ ἐγὼ ἀγαπῶ τὸν κόσμον, ἡ ἀγάπη τοῦ πατρὸς οὐκ ἔστιν ἐν ἐμοί.

ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ οὐκ ἔστιν ἐκ τοῦ πατρός.
τί ἐστιν ἐν τῷ κόσμῳ;

ἡ ἐπιθυμία τῆς σαρκός
καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν
καὶ ἡ ἀλαζονεία τοῦ βίου.

ταῦτα ἐστὶν ἐκ τοῦ κόσμου.
ὁ κόσμος καὶ ἡ ἐπιθυμία αὐτοῦ παράγεται.
εἰ ἐγὼ ποιῶ τὸ θέλημα τοῦ θεοῦ, ἐγὼ μένω εἰς τὸν αἰῶνα.

### Βαθμὸς τρία

ὑμεῖς μὴ ἀγαπᾶτε τὸν κόσμον.
καὶ μη ἀγαπᾶτε τὰ ἐν τῷ κόσμῳ.
ἐάν τις ἀγαπᾷ τὸν κόσμον, ἡ ἀγάπη τοῦ πατρὸς οὐκ ἔστιν ἐν αὐτῷ.
ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ (ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία τοῦ βίου) οὐκ ἔστιν ἐκ τοῦ πατρός.
ἀλλὰ ταῦτα ἐστίν ἐκ τοῦ κόσμου.
ὁ κόσμος καὶ ἡ ἐπιθυμία αὐτοῦ παράγεται.
ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα.

### Τὰ ῥήματα τοῦ θεοῦ

15 Μὴ ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἐάν τις ἀγαπᾷ τὸν
κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ· 16 ὅτι πᾶν τὸ ἐν τῷ
κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ
ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρός, ἀλλὰ ἐκ τοῦ κόσμου
ἐστίν· 17 καὶ ὁ κόσμος παράγεται καὶ ἡ ἐπιθυμία αὐτοῦ, ὁ δὲ ποιῶν τὸ
θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα.

# Στοῖχοι 18–19

**Λέξεις**



**πρώτη ὥρα < > ἐσχάτη ὥρα** **Πρῶτος < > ἐσχάτης**

**ἐξέρχεται** ~ ἐκ + ἔρχομαι

**ἀντίχριστος** ~ ἀντὶ + Χριστός

**Βαθμὸς ἕν**

Παιδία!
γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν.
ὅτι ἀντίχριστοι ἦλθον ὡς ὑμεῖς ἠκούσατε.
ἐκεῖνοι ἐξέρχονται ἐξ ἡμῶν.
ἀλλ᾽ ἐκεῖνοι οὐκ εἰσὶν ἐξ ἡμῶν.
ἐκεῖνοι οὐκ εἰσὶν μεθ᾽ ἡμῶν ἕως τοῦ νῦν.
Τοῦτο ἐγένετο ἵνα ἡμεῖς βλέπωμεν ὅτι ἐκεῖνοι οὐκ εἰσὶν ἐξ ἡμῶν.

**Βαθμὸς δύο**

Παιδία!
ἐσχάτη ὥρα ἐστὶν νῦν.

ὑμεῖς ἠκούσατε: “ἀντίχριστος ἔρχεται.”
πολλοὶ ἀντίχριστοι ἦλθον νῦν.
γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν.
ἐκεῖνοι ἐξῆλθον ἐξ ἡμῶν.
ἀλλ’ ἐκεῖνοι οὐκ ἦσαν ἐξ ἡμῶν.
ὅτι οὐ μένουσιν μεθ’ ἡμῶν.
Τοῦτο ἐγένετο ἵνα ἡμεῖς βλέπωμεν ὅτι ἐκεῖνοι οὐκ εἰσὶν ἐξ ἡμῶν.

**Βαθμὸς τρία**

Παιδία!
ἐσχάτη ὥρα ἐστίν.
καὶ καθὼς ὑμεῖς ἠκούσατε ὅτι ἀντίχριστος ἔρχεται.
καὶ πολλοὶ ἀντίχριστοι γεγόνασιν νῦν.
ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν.
ἐκεῖνοι ἐξῆλθαν ἐξ ἡμῶν.
ἀλλ’ ἐκεῖνοι οὐκ ἦσαν ἐξ ἡμῶν.
εἰ γὰρ ἐκεῖνοι ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ’ ἡμῶν.
ἀλλ’ ἐκεῖνοι ἐξῆλθαν ἐξ ἡμῶν ἵνα φανερωθῶσιν ὅτι οὐκ εἰσὶν πάντες ἐξ ἡμῶν.

**Τὰ ῥήματα τοῦ θεοῦ**

18 Παιδία, ἐσχάτη ὥρα ἐστίν, καὶ καθὼς ἠκούσατε ὅτι ἀντίχριστος
ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι
ἐσχάτη ὥρα ἐστίν.
19 ἐξ ἡμῶν ἐξῆλθαν, ἀλλ’ οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ
ἐξ ἡμῶν ἦσαν, μεμενήκεισαν ἂν μεθ’ ἡμῶν· ἀλλ’ ἵνα φανερωθῶσιν
ὅτι οὐκ εἰσὶν πάντες ἐξ ἡμῶν.

# Στοῖχοι 20–23

## Λέξεις







ὁ Πέτρος **ἀρνεῖται** τὸν Ἰησοῦν

ὁ Στέφανος **ὁμολογεῖται** τὸν Ἰησοῦν.

## Βαθμὸς ἕν

ὑμεῖς ἔχετε χρῖσμα ἀπὸ τοῦ θεοῦ.
ὑμεῖς γινώσκετε πάντες.
ἐγὼ οὐκ ἔγραψα ὑμῖν ὅτι ὑμεῖς οὐ γινώσκετε τὴν ἀλήθειαν.
ἐγὼ ἔγραψα ὅτι ὑμεῖς γινώσκετε τὴν ἀλήθειαν.
πᾶν ψεῦδος οὐκ ἔστιν ἐκ τῆς ἀληθείας.
τίς ἐστιν ὁ ψεύστης;
εἰ ἀρνοῦμαι τὸν Ἰησοῦν, ἐγώ εἰμι ὁ ψεύστης.
εἰ ἐγὼ λέγω· "Ἰησοῦς οὐκ ἔστιν ὁ χριστός," ἐγώ εἰμι ψεύστης.
εἰ ἐγὼ λέγω τοῦτο, ἐγώ εἰμι ὁ ἀντίχριστος.
ὁ ἀντίχριστος ἀρνεῖται τὸν πατέρα καὶ τὸν υἱόν.
εἰ ἐγὼ ἀρνοῦμαι τὸν υἱόν, οὐκ ἐγὼ ἔχω τὸν πατέρα.
εἰ ἐγὼ ὁμολογοῦμαι τὸν υἱόν, ἐγὼ ἔχω τὸν πατέρα.

## Βαθμὸς δύο

ὑμεῖς ἔχετε χρῖσμα ἀπὸ τοῦ θεοῦ.
ὑμεῖς οἴδατε πάντες.
ἐγὼ οὐκ ἔγραψα ὑμῖν ὅτι ὑμεῖς οὐ γινώσκετε τὴν ἀλήθειαν.
ἀλλὰ ἐγὼ ἔγραψα ὅτι ὑμεῖς γινώσκετε τὴν ἀλήθειαν.
καὶ ὅτι πᾶν ψεῦδος οὐκ ἔστιν ἐκ τῆς ἀληθείας.
τίς ἐστιν ὁ ψεύστης;
εἰ ἐγὼ ἀρνοῦμαι τὸν Ἰησοῦν, ἐγώ εἰμι ψεύστης.
καὶ εἰ ἐγὼ λέγω· "Ἰησοῦς οὐκ ἔστιν ὁ χριστός," ἐγώ εἰμι ψεύστης.
εἰ ἐγὼ λέγω τοῦτο, ἐγώ εἰμι ὁ ἀντίχριστος.
ὁ ἀντίχριστος ἀρνεῖται τὸν πατέρα καὶ τὸν υἱόν.
εἰ ἐγὼ ἀρνοῦμαι τὸν υἱόν, οὐκ ἐγὼ ἔχω τὸν πατέρα.
εἰ ἐγὼ ὁμολογοῦμαι τὸν υἱόν, ἐγὼ ἔχω τὸν πατέρα.

## Βαθμὸς τρία

καὶ ὑμεῖς ἔχετε χρῖσμα ἀπὸ τοῦ ἁγίου.
καὶ ὑμεῖς οἴδατε πάντες.
ἐγὼ οὐκ ἔγραψα ὑμῖν ὅτι ὑμεῖς οὐκ οἴδατε τὴν ἀλήθειαν.
ἀλλὰ ἐγὼ ἔγραψα ὅτι ὑμεῖς οἴδατε αὐτήν.
καὶ ἐγὼ ἔγραψα ὅτι πᾶν ψεῦδος οὐκ ἔστιν ἐκ τῆς ἀληθείας.
τίς ἐστιν ὁ ψεύστης εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ χριστός;
οὗτός ἐστιν ὁ ἀντίχριστος.
ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν.
πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν οὐδὲ αὐτὸς ἔχει τὸν πατέρα·
ὁ ὁμολογῶν τὸν υἱὸν καὶ αὐτὸς ἔχει τὸν πατέρα.

## Τὰ ῥήματα τοῦ θεοῦ

[20] καὶ ὑμεῖς χρῖσμα ἔχετε ἀπὸ τοῦ ἁγίου καὶ οἴδατε πάντες· [21] οὐκ
ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ᾽ ὅτι οἴδατε αὐτήν, καὶ
ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστιν. [22] τίς ἐστιν ὁ ψεύστης εἰ
μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ χριστός; οὗτός ἐστιν ὁ
ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν. [23] πᾶς ὁ
ἀρνούμενος τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει· ὁ ὁμολογῶν τὸν υἱὸν καὶ
τὸν πατέρα ἔχει.

# Στοῖχοι 24–25

## Λέξεις




ὁ πατήρ **ἐπηγγείλατο** τῇ θυγατρί.
Αὐτὸς ποιεῖ **ἐπαγγελίαν.**

οἱ ἄνθρωποι **ἐπηγγείλαντο** ἀλλήλους.
Αὐτοὶ ποιοῦσιν **ἐπαγγελίαν**

### Βαθμὸς ἕν

ὑμεῖς μενέτω ἐν ὑμῖν ὃ ἠκούσατε.
εἰ τοῦτο μένει ἐν ὑμῖν, ὑμεῖς μενεῖτε ἐν τῷ Ἰησοῦ.
καὶ ὑμεῖς μενεῖτε ἐν τῷ θεῷ.
θεὸς ἐπηγγείλατο τὴν ζωὴν τὴν αἰώνιον ἡμῖν.

### Βαθμὸς δύο

ὑμεῖς μενέτω ἐν ὑμῖν ὃ ἠκούσατε ἀπ᾽ ἀρχῆς.
εἰ τοῦτο μένει ἐν ὑμῖν, ὑμεῖς μενεῖτε ἐν τῷ Ἰησοῦ.
καὶ ὑμεῖς μενεῖτε ἐν τῷ θεῷ.
θεὸς ἐπηγγείλατο ἡμῖν.
αὕτη ἐστὶν ἡ ἐπαγγελία.

ἡ ἐπαγγελία ἐστὶν τὴν ζωὴν τὴν αἰώνιον.

### Βαθμὸς τρία

ὑμεῖς μενέτω ἐν ὑμῖν ὃ ἠκούσατε ἀπ᾽ ἀρχῆς.
ἐὰν ὃ ἀπ᾽ ἀρχῆς ἠκούσατε μείνῃ ἐν ὑμῖν, καὶ ὑμεῖς μενεῖτε ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρί.
καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν.
ἡ ἐπαγγελία ἐστὶν τὴν ζωὴν τὴν αἰώνιον.

### Τὰ ῥήματα τοῦ θεοῦ

24 ὑμεῖς ὃ ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἐν ὑμῖν μενέτω· ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ᾽ ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε.
25 καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν, τὴν ζωὴν τὴν αἰώνιον.

# Στοῖχοι 26–27

## Λέξεις




Τὸ ἀρνίον **πλανᾷ** ἀπὸ τῆς ποίμνης.




ἡ διδάσκαλος **διδάσκει** τὰ τέκνα



ὁ ἄνθρωπος οὐκ ἔχει ἄρτον. ὁ ἄνθρωπος ἔχει **χρείαν** ἄρτου.
Εἰ ἐγὼ οὐ βλέπω, ἐγὼ ἔχω **χρείαν** ὀφθαλμῶν.

**Βαθμὸς ἕν**

ἐγὼ γράφω ταῦτα περὶ ἀνθρώπων.
οἱ ἄνθρωποι πλανῶσιν ὑμᾶς.
ὑμεῖς ἐλάβετε τὸ χρῖσμα ἀπ᾿ αὐτοῦ.
καὶ τὸ χρῖσμα μένει ἐν ὑμῖν.
ὑμεῖς οὐκ ἔχετε χρείαν ἵνα τις διδάσκῃ ὑμᾶς.
ὑμεῖς μένετε ἐν αὐτῷ.
ὡς τὸ χρῖσμα διδάσκει ὑμᾶς.
τὸ χρῖσμα ἐστὶν ἀληθές.

**Βαθμὸς δύο**

ἐγὼ ἔγραψα ταῦτα ὑμῖν περὶ ἀνθρώπων ὧν πλανῶσιν ὑμᾶς.
καὶ τὸ χρῖσμα μένει ἐν ὑμῖν.
ὑμεῖς ἐλάβετε τὸ χρῖσμα ἀπ᾿ αὐτοῦ.
ὑμεῖς οὐκ ἔχετε χρείαν ἵνα τις διδάσκῃ ὑμᾶς.
ἀλλ᾿ ὑμεῖς μένετε ἐν αὐτῷ
    ὡς τὸ χρῖσμα διδάσκει ὑμᾶς
    καὶ τὸ χρῖσμα ἐστὶν ἀληθές.
    καὶ τὸ χρῖσμα οὐκ ἔστιν ψεῦδος.

καθὼς τὸ χρῖσμα ἐδίδαξεν ὑμᾶς...ὑμεῖς μένετε.

**Βαθμὸς τρία**

ἐγὼ ἔγραψα ταῦτα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς.
καὶ ὑμεῖς...τὸ χρῖσμα (ὃ ἐλάβετε ἀπ᾽ αὐτοῦ) μένει ἐν ὑμῖν.
καὶ οὐκ ἔχετε χρείαν ἵνα τις διδάσκῃ ὑμᾶς.
ἀλλ᾽ μένετε ἐν αὐτῷ
    ὡς τὸ αὐτὸ χρῖσμα διδάσκει ὑμᾶς περὶ πάντων.
    καὶ τὸ χρῖσμα ἐστὶν ἀληθές.
    καὶ τὸ χρῖσμα οὐκ ἔστιν ψεῦδος.
    καθὼς τὸ χρῖσμα ἐδίδαξεν ὑμᾶς.

**Τὰ ῥήματα τοῦ θεοῦ**

26 Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς. 27 καὶ ὑμεῖς τὸ χρῖσμα ὃ ἐλάβετε ἀπ᾽ αὐτοῦ μένει ἐν ὑμῖν, καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλ᾽ ὡς τὸ αὐτοῦ χρῖσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστιν καὶ οὐκ ἔστιν ψεῦδος, καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μένετε ἐν αὐτῷ.

# Στοῖχοι 28–29

**Λέξεις**



**ἔχω παρρησίαν < > αἰσχύνομαι**

**γεγέννηται** ~ ὁ Σολομῶν **γεγέννηται** ἐκ τοῦ Δαυίδ. ὁ Ἰσαὰκ **γεγέννηται** ἐκ τοῦ Ἀβραάμ. Τὰ τέκνα τοῦ θεοῦ γεγέννηται ἐκ τοῦ θεοῦ.

**τὴν δικαιοσύνην**~ εἰ ἁμαρτάνω, οὐ ποιῶ τὴν **δικαιοσύνην.**

**Βαθμὸς ἕν**

τεκνία!
ὑμεῖς μένετε ἐν τῷ Ἰησοῦ.
ἵνα τί;
ἵνα ἡμεῖς ἔχομεν παρρησίαν εἰ Ἰησοῦς ἔρχεται.
ἵνα ἡμεῖς μὴ αἰσχυνθῶμεν εἰ Ἰησοῦς ἔρχεται.
Ἰησοῦς ἐστιν δίκαιος.
εἰ τις γεγέννηται ἐκ τοῦ Ἰησοῦ, ἐκεῖνος ποιεῖ τὴν δικαιοσύνην.

**Βαθμὸς δύο**

Καὶ νῦν, τεκνία!
ὑμεῖς μένετε ἐν τῷ Ἰησοῦ.
ἵνα τί;
ἵνα ἡμεῖς σχῶμεν παρρησίαν ἐὰν αὐτὸς φανερωθῇ.
ἵνα ἡμεῖς μὴ αἰσχυνθῶμεν ἀπὸ Ἰησοῦ ἐν τῇ ἡμέρᾳ ᾗ ἔρχεται.
ὑμεῖς γινώσκετε ὅτι Ἰησοῦς δίκαιός ἐστιν.
Καὶ ὑμεῖς γινώσκετε ὅτι εἰ τις γεγέννηται ἐκ τοῦ Ἰησοῦ, ἐκεῖνος ποιεῖ τὴν δικαιοσύνην.

**Βαθμὸς τρία**

Καὶ νῦν, τεκνία!
ὑμεῖς μένετε ἐν τῷ Ἰησοῦ, ἵνα ἐὰν αὐτὸς φανερωθῇ, ἡμεῖς σχῶμεν παρρησίαν.
καὶ ὑμεῖς μένετε ἵνα ἡμεῖς μὴ αἰσχυνθῶμεν ἀπὸ Ἰησοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ.
ἐὰν ὑμεῖς εἰδῆτε ὅτι Ἰησοῦς ἐστιν δίκαιος, ὑμεῖς γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην γεγέννηται ἐξ αὐτοῦ.

**Τὰ ῥήματα τοῦ θεοῦ**

28 Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ, ἵνα ἐὰν φανερωθῇ σχῶμεν
παρρησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ᾽ αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ.
29 ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστιν, γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν
δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται.

# Κεφάλαιον Τρία

# Στοῖχοι 1–3

**Λέξεις**

**ποταπὴν**

**Ποταπός** ἐστιν Ἰησοῦς; Ἰησοῦς ἐστιν ἄνθρωπος καὶ θεὸς καὶ δίκαιος.
**Ποταπός** ἐστιν Σατανᾶς; Σατανᾶς ἐστιν πνεύματος καὶ πόνηρος.

**ἁγνίζω** ~ **ἁγνός** = καθαρίζω ~ καθαρός
εἰ δίδωμι τι τῷ θεῷ, αὐτὸ ἔσται **ἁγνὸς** τῷ θεῷ.
ἡμεῖς ἐσμεν **ἁγνοὶ** τῷ θεῷ, διὰ τοῦ αἵματος τοῦ Ἰησοῦ.
θεὸς **ἁγνίζει** ἡμᾶς ἀπὸ ἁμαρτίων.

**ἐλπίδα**. εἰ θεὸς ἐπαγγέλλει τι, ἡμεῖς ἔχομεν **ἐλπίδα** ὅτι θεὸς ποιήσει αὐτό.

**καλεῖ**

Ἀδάμ **καλεῖ** τοὺς υἱοὺς αὐτοῦ Ἅβελ, Κάϊν, καὶ Σήθ.
Ἰησοῦς **καλεῖ** τοὺς υἱοὺς Ζεβεδαίου Βοανηργές.
Ἰησοῦς **καλεῖ** τὸν Σίμωνα Κηφᾶς. Κηφᾶς ἐστιν Πέτρος.

**Βαθμὸς ἕν**

βλέψατε!
ὁ πατὴρ ἀγαπᾷ ἡμᾶς.
ὁ πατὴρ καλεῖ ἡμᾶς τέκνα.
ἡμεῖς ἐσμεν τέκνα θεοῦ.
ὁ κόσμος οὐ γινώσκει αὐτόν.
ὁ κόσμος οὐ γινώσκει ἡμᾶς.
ἀγαπητοί!

ἡμεῖς ἐσμεν τέκνα θεοῦ νῦν.
ἀλλὰ ἡμεῖς οὐ βλέπομεν νῦν τί ἐσόμεθα.
ἡμεῖς ἐσόμεθα ὡς αὐτόν, ἐὰν αὐτὸς φανερωθῇ.
ἡμεῖς βλέψομεν αὐτὸν ὡς αὐτός ἐστιν.
ἐκεῖνός ἐστιν ἁγνός.
εἰ ἐγὼ ἔχω τὴν ἐλπίδα ταύτην, ἐγὼ ἁγνίζομαι.

## Βαθμὸς δύο

βλέψατε!
ὁ πατὴρ δίδωσι ἀγάπην ἡμῖν.
Ποῖα ἀγάπη;
ἐν ἀγάπῃ, θεὸς καλεῖ ἡμᾶς τέκνα.
ἡμεῖς ἐσμεν ἀληθῶς τέκνα θεοῦ.
ὁ κόσμος οὐ γινώσκει ἡμᾶς ὅτι ὁ κόσμος οὐ γινώσκει αὐτόν.
ἀγαπητοί!
ἡμεῖς ἐσμεν τέκνα θεοῦ νῦν.
ἀλλὰ ἡμεῖς οὐ βλέπομεν νῦν τί ἐσόμεθα.
ἡμεῖς γινώσκομεν ὅτι ἡμεῖς ἐσόμεθα ὅμοιοι αὐτῷ.
ἡμεῖς ἐσόμεθα ὅμοιοι αὐτῷ ἐὰν αὐτὸς φανερωθῇ.
ὅτι ἡμεῖς βλέψομεν αὐτὸν ὡς αὐτός ἐστιν ἀληθῶς.
εἰ ἐγὼ ἔχω τὴν ἐλπίδα ταύτην, ἐγὼ ἁγνίζομαι.
ὡς ἐκεῖνός ἐστιν ἁγνός.

## Βαθμὸς τρία

ἴδετε!
ὁ πατὴρ δέδωκεν ποταπὴν ἀγάπην ἡμῖν.
ἵνα ἡμεῖς κληθῶμεν τέκνα θεοῦ.
καὶ ἡμεῖς ἐσμεν τέκνα θεοῦ.
διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς.

ὅτι οὐκ ἔγνω αὐτόν.
ἀγαπητοί!
ἡμεῖς ἐσμεν τέκνα θεοῦ νῦν.
καὶ τί ἐσόμεθα οὔπω ἐφανερώθη.
ἡμεῖς οἴδαμεν ὅτι ἐὰν αὐτὸς φανερωθῇ, ἡμεῖς ἐσόμεθα ὅμοιοι αὐτῷ.
ὅτι ἡμεῖς ὀψόμεθα αὐτὸν καθώς ἐστιν.
καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ᾽ αὐτῷ, ἁγνίζει ἑαυτὸν.
οὗτος ἁγνίζει ἑαυτὸν καθὼς ἐκεῖνος ἐστιν ἁγνός.

### Τὰ ῥήματα τοῦ θεοῦ

1 ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ ἵνα τέκνα θεοῦ κληθῶμεν, καὶ ἐσμέν. διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς ὅτι οὐκ ἔγνω αὐτόν.
2 ἀγαπητοί, νῦν τέκνα θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα. οἴδαμεν ὅτι ἐὰν φανερωθῇ ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν.
3 καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ᾽ αὐτῷ ἁγνίζει ἑαυτὸν καθὼς ἐκεῖνος ἁγνός ἐστιν.

# Στοῖχοι 4–6

## Λέξεις




ὁ νόμος

**ἀνομία** ~ ἀ + νόμος

**ἀνομία** < > δικαιοσύνη



δένδρον (sg) δένδρα (pl)

**ἄρῃ**

ὁ ἄνθρωπος λέγει: "ὑμεῖς **ἄρατε** τὰ δένδρα."

οἱ ἄνθρωποι **αἴρει** τὰ δένδρα.

**Βαθμὸς ἕν**

εἰ ἐγὼ ἁμαρτάνω, ἐγὼ ποιῶ τὴν ἀνομίαν.
ὅτι ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία.
ὁ Ἰησοῦς ἔρχεται ἵνα ἄρῃ τὰς ἁμαρτίας.
ἁμαρτία οὐκ ἔστιν ἐν τῷ Ἰησοῦ.
εἰ ἐγώ εἰμι ἐν αὐτῷ, ἐγὼ οὐχ ἁμαρτάνω.
εἰ ἐγὼ ἁμαρτάνω, ἐγὼ οὐκ ἔβλεψα τὸν Ἰησοῦν.
εἰ ἐγὼ ἁμαρτάνω, ἐγὼ οὐ γινώσκω τὸν Ἰησοῦν.

**Βαθμὸς δύο**

εἰ ἐγὼ ποιῶ τὴν ἁμαρτίαν, ἐγὼ ποιῶ τὴν ἀνομίαν.
ὅτι ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία.
ὑμεῖς γινώσκετε ὅτι Ἰησοῦς ἐφανερώθη ἵνα ἄρῃ τὰς ἁμαρτίας.
ἁμαρτία οὐκ ἔστιν ἐν τῷ Ἰησοῦ.
εἰ ἐγὼ μένω ἐν αὐτῷ, ἐγὼ οὐχ ἁμαρτάνω.
εἰ ἐγὼ ἁμαρτάνω, ἐγὼ οὐκ ἔβλεψα τὸν Ἰησοῦν.
εἰ ἐγὼ ἁμαρτάνω, ἐγὼ οὐ γινώσκω τὸν Ἰησοῦν.

**Βαθμὸς τρία**

πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, οὗτος ποιεῖ καὶ τὴν ἀνομίαν.
καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία.
καὶ ὑμεῖς οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα ἐκεῖνος ἄρῃ τὰς ἁμαρτίας.
καὶ ἁμαρτία οὐκ ἔστιν ἐν αὐτῷ.
πᾶς ὁ μένων ἐν αὐτῷ οὐχ ἁμαρτάνει.
πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν.
πᾶς ὁ ἁμαρτάνων οὐδὲ ἔγνωκεν αὐτόν.

**Τὰ ῥήματα τοῦ θεοῦ**

[4] Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἡ ἁμαρτία
ἐστὶν ἡ ἀνομία. [5] καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα τὰς ἁμαρτίας
ἄρῃ, καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν. [6] πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ
ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν οὐδὲ ἔγνωκεν
αὐτόν.

# Στοῖχοι 7–8

## Λέξεις

**τὰ ἔργα**

εἰ ἐγὼ ποιῶ τι, αὐτό ἐστιν **τὸ ἔργον** μου.
εἰ ἐγὼ ἁμαρτάνω, **τὰ ἔργα** μου οὐκ ἔστιν δίκαιος.
Ἰησοῦς ποιεῖ τὸ θέλημα τοῦ θεοῦ ~ Ἰησοῦς ποιεῖ **τὰ ἔργα** τοῦ θεοῦ



**λύω**

## Βαθμὸς ἕν

τεκνία!
οὐχ εἷς ἄνθρωπος πλανάτω ὑμᾶς.
Ἰησοῦς ἐστιν δίκαιος.
ἐγώ εἰμι δίκαιος, εἰ ποιῶ τὴν δικαιοσύνην.
ἐγώ εἰμι ἐκ τοῦ Σατανᾶ, εἰ ποιῶ τὴν ἁμαρτίαν.
ὁ Σατανᾶς ἁμαρτάνει ἀπ’ ἀρχῆς.
Ἰησοῦς λύει τὰ ἔργα τοῦ Σατανᾶ.

## Βαθμὸς δύο

τεκνία!

μηδεὶς πλανάτω ὑμᾶς.
Ἰησοῦς ἐστιν δίκαιος.
ἐγώ εἰμι δίκαιος, εἰ ποιῶ τὴν δικαιοσύνην.
ἐγώ εἰμι ἐκ τοῦ Σατανᾶ, εἰ ποιῶ τὴν ἁμαρτίαν.
ὅτι ὁ Σατανᾶς ἁμαρτάνει ἀπ᾽ ἀρχῆς.
ὁ υἱὸς τοῦ θεοῦ ἐφανερώθη ἵνα αὐτὸς λύσῃ τὰ ἔργα τοῦ Σατανᾶ.

### Βαθμὸς τρία

τεκνία!
μηδεὶς πλανάτω ὑμᾶς.
ὁ ποιῶν τὴν δικαιοσύνην ἐστὶν δίκαιος, καθὼς ἐκεῖνός ἐστιν δίκαιος.
ὁ ποιῶν τὴν ἁμαρτίαν ἐστὶν ἐκ τοῦ διαβόλου.
ὅτι ὁ διάβολος ἁμαρτάνει ἀπ᾽ ἀρχῆς.
ὁ υἱὸς τοῦ θεοῦ ἐφανερώθη εἰς τοῦτο…
ἵνα ὁ υἱὸς λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

### Τὰ ῥήματα τοῦ θεοῦ

7 τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός
ἐστιν, καθὼς ἐκεῖνος δίκαιός ἐστιν· 8 ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ
διαβόλου ἐστίν, ὅτι ἀπ᾽ ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. εἰς τοῦτο
ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

# Στοῖχοι 9–10

**Λέξεις**



**οὐ δύναμαι** βλέπειν τὸν ἄρτον
ὁ ἄρτος οὐκ ἔστιν **φανερός.**

**δύναμαι** βλέπειν τὸν ἄρτον.
ὁ ἄρτος ἐστὶν **φανερός.**



**Βαθμὸς ἕν**

εἰ θεὸς ἐγέννησέν με, οὐ ποιῶ ἁμαρτίαν.
Τὸ σπέρμα θεοῦ μένει ἐν ἐμοί.
ἐγὼ οὐ δύναμαι ἁμαρτάνειν.
τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ τέκνα τοῦ Σατανᾶ ἐστὶν φανερὰ.
εἰ ἐγὼ οὐ ποιῶ δικαιοσύνην, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ θεοῦ.
εἰ ἐγὼ οὐ ἀγαπῶ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ θεοῦ.

**Βαθμὸς δύο**

Εἰ ὁ θεὸς ἐγέννησέν με, οὐ ποιῶ ἁμαρτίαν.
ὅτι σπέρμα τοῦ Θεοῦ μένει ἐν ἐμοί.
ἐγὼ οὐ δύναμαι ἁμαρτάνειν, ὅτι ὁ θεὸς ἐγέννησέν με.
τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ τέκνα τοῦ Σατανᾶ ἐστιν φανερὰ ἐν τούτῳ...
εἰ ἐγὼ οὐ ποιῶ δικαιοσύνην, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ θεοῦ.
εἰ ἐγὼ οὐ ἀγαπῶ τὸν ἀδελφόν μου, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ θεοῦ.

**Βαθμὸς τρία**

πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐ ποιεῖ ἁμαρτίαν.
ὅτι σπέρμα τοῦ θεοῦ μένει ἐν αὐτῷ.
καὶ οὗτος οὐ δύναται ἁμαρτάνειν, ὅτι οὗτος γεγέννηται ἐκ τοῦ θεοῦ.
τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου ἐστὶν φανερὰ ἐν τούτῳ.
πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ θεοῦ.
καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἔστιν ἐκ τοῦ θεοῦ.

**Τὰ ῥήματα τοῦ θεοῦ**

9 πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα
αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ
γεγέννηται.
10 ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ τέκνα

τοῦ διαβόλου· πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ.

# Στοῖχοι 11–15

### Λέξεις

**ἀλλήλων.** ἐγὼ ἀγαπῶ τὸν ἀδελφόν μου. καὶ ὁ ἀδελφός μου ἀγαπᾷ με. ἡμεῖς ἀγαπῶμεν ἀλλήλους.

**ἀποκτείνω.** Εἰ ἐγὼ ἀποκτείνω ἄνθρωπον, ἐγὼ θανατῶ αὐτόν.
Εἰ ἐγὼ ἀποκτείνω ἄνθρωπον, ἐγὼ εἰμι **ἀνθρωποκτόνος.**

**Κάϊν** καὶ **Ἅβελ** εἰσὶν τὰ τέκνα τοῦ Ἀδάμ καὶ Ἔυα.
Κάϊν ἦν **ἀνθρωποκτόνος,** ὅτι Κάϊν **ἀπέκτεινεν** Ἅβελ.

**πονηρὰ.** ἡμεῖς καλοῦμεν Σατανᾶν "τὸν πονηρόν" ὅτι Σατανᾶς ἐστιν πονηρός. Οὐ δίκαιός ἐστιν. Σατανᾶς ψευδεῖ καὶ ἀποκτέννει. Τὰ ἔργα ταῦτα ἐστὶν πονηρά. Σατανᾶς πονηρός ἐστιν.

### Βαθμὸς ἕν

ὑμεῖς ἠκούσατε ἀγγελίαν ἀπ᾽ ἀρχῆς.
αὕτη ἐστὶν ἡ ἀγγελία:
ἀγαπᾶτε ἀλλήλους, οὐχ ὡς Κάϊν.
Κάϊν ἦν ἐκ τοῦ Σατανᾶ.
Κάϊν ἀπέκτεινεν τὸν Ἅβελ.
διὰ τί Κάϊν ἀπέκτεινεν τὸν Ἅβελ;
ὅτι τὰ ἔργα τοῦ Κάϊν ἦν πονηρὰ.
καὶ ὅτι τὰ ἔργα τοῦ Ἅβελ ἦν δίκαια.
ἀδελφοί!
εἰ ὁ κόσμος μισεῖ ὑμᾶς, ὑμεῖς μὴ θαυμάζετε.
ἡμεῖς ἤλθομεν ἐκ τοῦ θανάτου.

ἡμεῖς ἤλθομεν εἰς τὴν ζωήν.
ἡμεῖς γινώσκομεν ταῦτα, εἰ ἡμεῖς ἀγαπῶμεν τοὺς ἀδελφούς.
εἰ ἐγὼ οὐ ἀγαπῶ, ἐγὼ μένω ἐν τῷ θανάτῳ.
εἰ ἐγὼ μισῶ τὸν ἀδελφόν μου, ἐγώ εἰμι ἀνθρωποκτόνος.
ὑμεῖς οἴδατε ὅτι ἀνθρωποκτόνοι οὐκ ἔχουσιν ζωὴν αἰώνιον.
ζωὴ αἰώνιος οὐ μένει ἐν αὐτοῖς.

### Βαθμὸς δύο

ὑμεῖς ἠκούσατε ἀγγελίαν ἀπ’ ἀρχῆς.
αὕτη ἐστὶν ἡ ἀγγελία: ἀγαπᾶτε ἀλλήλους, οὐχ ὡς Κάϊν.
Κάϊν ἦν ἐκ τοῦ πονηροῦ.
Κάϊν ἀπέκτεινεν τὸν Ἅβελ.
Διὰ τί Κάϊν ἀπέκτεινεν τὸν Ἅβελ;
ὅτι τὰ ἔργα τοῦ Κάϊν ἦν πονηρὰ.
ὅτι τὰ ἔργα τοῦ Ἅβελ ἦν δίκαια.
ἀδελφοί!
εἰ ὁ κόσμος μισεῖ ὑμᾶς, ὑμεῖς μὴ θαυμάζετε.
ἡμεῖς γινώσκομεν ὅτι ἡμεῖς ἤλθομεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.
ὅτι ἡμεῖς ἀγαπῶμεν τοὺς ἀδελφούς.
Εἰ ἐγὼ οὐ ἀγαπῶ, ἐγὼ μένω ἐν τῷ θανάτῳ.
Εἰ ἐγὼ μισῶ τὸν ἀδελφόν μου, ἐγώ εἰμι ἀνθρωποκτόνος.
ὑμεῖς οἴδατε ὅτι ἀνθρωποκτόνοι οὐκ ἔχουσιν ζωὴν αἰώνιον.
Ζωὴ αἰώνιος οὐ μένει ἐν αὐτοῖς.

### Βαθμὸς τρία

Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ’ ἀρχῆς, ἵνα ἡμεῖς ἀγαπῶμεν ἀλλήλους.
οὐ καθὼς Κάϊν ἦν ἐκ τοῦ πονηροῦ καὶ Κάϊν ἔσφαξεν τὸν ἀδελφὸν αὐτοῦ.

καὶ χάριν τίνος Κάϊν ἔσφαξεν αὐτόν;
ὅτι τὰ ἔργα αὐτοῦ ἦν πονηρά.
τὰ δὲ ἔργα τοῦ ἀδελφοῦ αὐτοῦ ἦν δίκαια.
ἀδελφοί!
ὑμεῖς μὴ θαυμάζετε εἰ ὁ κόσμος μισεῖ ὑμᾶς.
ἡμεῖς οἴδαμεν ὅτι ἡμεῖς μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.
ὅτι ἡμεῖς ἀγαπῶμεν τοὺς ἀδελφούς.
ὁ μὴ ἀγαπῶν μένει ἐν τῷ θανάτῳ.
πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἐστιν ἀνθρωποκτόνος.
καὶ ὑμεῖς οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν.

**Τὰ ῥήματα τοῦ θεοῦ**

11 Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ’ ἀρχῆς, ἵνα ἀγαπῶμεν
ἀλλήλους· 12 οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξεν τὸν
ἀδελφὸν αὐτοῦ· καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; ὅτι τὰ ἔργα αὐτοῦ
πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια. 13 μὴ θαυμάζετε,
ἀδελφοί, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. 14 ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν
ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· ὁ μὴ
ἀγαπῶν μένει ἐν τῷ θανάτῳ. 15 πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ
ἀνθρωποκτόνος ἐστίν, καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει
ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν.

# Στοῖχοι 16–17

### Λέξεις




**ἡ ψυχὴ** τοῦ ἀνθρώπου ὑπάγει ἀπὸ τοῦ σώματος αὐτοῦ.




ἐγὼ **ὀφείλω,** ἀλλ’ οὐ δύναμαι δοῦναι ὅ **ὀφείλω**.



κλείω



**Βαθμὸς ἕν**

ἐν τίνι ἡμεῖς γινώσκω τὴν ἀγάπην;
ὁ Ἰησοῦς ἔδωκεν τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ἡμῶν.
ἡμεῖς ὀφείλομεν δοῦναι τὰς ψυχὰς ἡμῶν ὑπὲρ τῶν ἀδελφῶν.
εἰ ἐγὼ δύναμαι δοῦναι, καὶ βλέπω τὴν χρείαν τοῦ ἀδελφοῦ, ἐγὼ ὀφείλω δοῦναι τὴν χρείαν.
εἰ κλείω τὴν καρδίαν μου, ἡ ἀγάπη τοῦ θεοῦ οὐ μένει ἐν ἐμοί.

**Βαθμὸς δύο**

ἐν τίνι ἡμεῖς ἐγνώκαμεν τὴν ἀγάπην;
ὁ Ἰησοῦς ἔδωκεν τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ἡμῶν.
ἡμεῖς ὀφείλομεν δοῦναι τὰς ψυχὰς ἡμῶν ὑπὲρ τῶν ἀδελφῶν.
ἡ ἀγάπη τοῦ θεοῦ οὐ δύναται μένειν ἐν ἀνθρώπῳ.
    ὃς ἔχει τὸν βίον τοῦ κόσμου
    ὃς βλέπει τὴν χρείαν τοῦ ἀδελφοῦ
    καὶ ὃς κλείσῃ τὴν καρδίαν αὐτοῦ.

**Βαθμὸς τρία**

ἡμεῖς ἐγνώκαμεν τὴν ἀγάπην ἐν τούτῳ...
ὅτι ὁ Ἰησοῦς ἔθηκεν τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ἡμῶν.
καὶ ἡμεῖς ὀφείλομεν θεῖναι τὰς ψυχὰς ἡμῶν ὑπὲρ τῶν ἀδελφῶν.
πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν ἀνθρώπῳ;
    ὃς δ’ ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου
    καὶ ὃς θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ ἔχοντα χρείαν
    καὶ ὃς κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπὸ τοῦ ἀδελφοῦ.

**Τὰ ῥήματα τοῦ θεοῦ**

16 ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν
ψυχὴν αὐτοῦ ἔθηκεν· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς

ψυχὰς θεῖναι. [17] ὃς δ’ ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ τὸν
ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ’
αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν αὐτῷ;

# Στοῖχοι 18–19

### Λέξεις




**πείθω.** εἰ ἐγὼ θέλω σὺ ποιεῖν τι. ἐγὼ λέγω μετά σου περὶ αὐτοῦ. Σύ ἀκούεις μου καὶ σὺ ποιεῖς ὅ ἐγὼ θέλω. ἐγὼ **πέποιθα** σε.




**Βαθμὸς ἕν**

τεκνία!
ἡμεῖς ὀφείλομεν ἀγαπᾶν.
ἡμεῖς οὐ ἀγαπῶμεν ἐν λόγῳ καὶ ἐν γλώσσῃ.
ἡμεῖς ἀγαπῶμεν ἐν ἔργῳ καὶ ἐν ἀληθείᾳ.
εἰ ἐγὼ ἀγαπῶ, ἐγὼ γινώσκω ὅτι ἐγὼ εἰμι ἐκ τῆς ἀληθείας.
εἰ ἐγὼ ἀγαπῶ, ἐγὼ πείθω τὴν καρδίαν μου ἔμπροσθεν θεοῦ.

**Βαθμὸς δύο**

τεκνία!
ἡμεῖς ὀφείλομεν ἀγαπᾶν.
ἡμεῖς οὐ ἀγαπῶμεν ἐν λόγῳ καὶ ἐν γλώσσῃ.
ἀλλὰ ἡμεῖς ἀγαπῶμεν ἐν ἔργῳ καὶ ἐν ἀληθείᾳ.
εἰ ἐγὼ ἀγαπῶ ἐν ἔργῳ καὶ ἐν ἀληθείᾳ, ἐγὼ γινώσκω ὅτι ἐγὼ εἰμι ἐκ τῆς ἀληθείας.
εἰ ἐγὼ ἀγαπῶ ἐν ἔργῳ καὶ ἐν ἀληθείᾳ, ἐγὼ πείθω τὴν καρδίαν μου ἔμπροσθεν θεοῦ.

### Βαθμὸς τρία

τεκνία!
μὴ ἡμεῖς ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ.
ἀλλὰ ἡμεῖς ἀγαπῶμεν ἐν ἔργῳ καὶ ἀληθείᾳ.
ἡμεῖς γνωσόμεθα ἐν τούτῳ ὅτι ἡμεῖς ἐσμεν ἐκ τῆς ἀληθείας.
καὶ ἡμεῖς πείσομεν τὴν καρδίαν ἡμῶν ἔμπροσθεν αὐτοῦ.

### Τὰ ῥήματα τοῦ θεοῦ

18 Τεκνία, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ ἀλλὰ ἐν ἔργῳ καὶ
ἀληθείᾳ. 19 ἐν τούτῳ γνωσόμεθα ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν, καὶ
ἔμπροσθεν αὐτοῦ πείσομεν τὴν καρδίαν ἡμῶν.

# Στοῖχοι 20–22

## Λέξεις



**καταγινώσκει** τὸν ἄνθρωπον



ὁ ἄνθρωπος **αἰτεῖ** ἄρτον

εἰ ἐγὼ θέλω τι ἀπὸ σοῦ, καὶ ἐγὼ λέγω σοι ὅ θέλω, **αἰτῶ** σε.

**λαμβάνω.** εἰ σὺ δίδως τι ἐμοί, ἐγὼ **λαμβάνω** αὐτὸ ἀπὸ σοῦ.

**μείζων ἢ**

5 > 1

πέντε ἐστὶν **μείζων ἢ** ἕν

20 > 10

εἴκοσι ἐστὶν **μείζων ἢ** δέκα

3 > 2

τρεῖς ἐστιν **μείζων ἢ** δύο

**Βαθμὸς ἕν**

εἰ ἡ καρδία καταγινώσκει μου, ἐγὼ πείθω τὴν καρδίαν μου

ἐγὼ λέγω:

ὁ θεὸς ἐστὶν μείζων τῆς καρδίας μου.

καὶ ὁ θεὸς γινώσκει πάντα.

ἀγαπητοί!

εἰ ἡ καρδία οὐ καταγινώσκει μου, ἐγὼ ἔχω παρρησίαν.

ἐγὼ αἰτῶ τι ἀπὸ τοῦ θεοῦ.

καὶ ἐγὼ λαμβάνω αὐτό.

διὰ τί;

ὅτι ἐγὼ τηρῶ τὰς ἐντολὰς θεοῦ.

καὶ εἰ θεὸς ἀγαπᾷ τι, ἐγὼ ποιῶ τοῦτο ἔμπροσθεν αὐτοῦ.

**Βαθμὸς δύο**

ἐγὼ πείθω τὴν καρδίαν μου, λέγων:

εἰ ἡ καρδία καταγινώσκει με,

ὁ θεός ἐστιν μείζων τῆς καρδίας μου

καὶ ὁ θεὸς γινώσκει πάντα.

ἀγαπητοί!

εἰ ἡ καρδία οὐ καταγινώσκει με, ἐγὼ ἔχω παρρησίαν μετὰ Θεοῦ.

εἰ ἐγὼ αἰτῶ τι ἀπὸ θεοῦ, ἐγὼ λαμβάνω αὐτὸ ἀπ’ αὐτοῦ.

διὰ τί;

ὅτι ἐγὼ τηρῶ τὰς ἐντολὰς αὐτοῦ.

καὶ εἰ θεὸς ἀγαπᾷ τι, ἐγὼ ποιῶ τοῦτο ἔμπροσθεν αὐτοῦ.

**Βαθμὸς τρία**

ἡμεῖς πείσομεν τὴν καρδίαν ἡμῶν

ὅτι ἐὰν ἡ καρδία καταγινώσκῃ ἡμῶν,

ὅτι ὁ θεὸς ἐστὶν μείζων τῆς καρδίας ἡμῶν

καὶ ὁ θεὸς γινώσκει πάντα.

ἀγαπητοί!

ἐὰν ἡ καρδία μὴ καταγινώσκῃ ἡμῶν, ἡμεῖς ἔχομεν παρρησίαν πρὸς τὸν θεόν.

καὶ ἡμεῖς λαμβάνομεν ἀπ᾽ αὐτοῦ ὃ ἐὰν ἡμεῖς αἰτῶμεν.

ὅτι ἡμεῖς τηροῦμεν τὰς ἐντολὰς αὐτοῦ.

καὶ ἡμεῖς ποιοῦμεν τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ.

**Τὰ ῥήματα τοῦ θεοῦ**

20 ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ θεὸς τῆς
καρδίας ἡμῶν καὶ γινώσκει πάντα. 21 ἀγαπητοί, ἐὰν ἡ καρδία μὴ
καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν θεόν, 22 καὶ ὃ ἐὰν
αἰτῶμεν λαμβάνομεν ἀπ᾽ αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν καὶ
τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.

# Στοῖχοι 23–24

## Λέξεις



ὁ Θωμᾶς **οὐ πιστεύει**

ὁ Θωμᾶς βλέπει καὶ **πιστεύει**




**Τὸ πνεῦμα** τοῦ ἀνθρώπου



**Τὸ πνεῦμα** τοῦ θεοῦ

## Βαθμὸς ἕν

τί ἐστιν ἡ ἐντολὴ τοῦ θεοῦ;
“ὑμεῖς πιστεύετε ἐν τῷ ὀνόματι Ἰησοῦ”
καὶ “ὑμεῖς ἀγαπᾶτε ἀλλήλους”
θεὸς δίδωσι ταύτην ἐντολὴν ἡμῖν.
εἰ ἐγὼ τηρῶ τὰς ἐντολὰς αὐτοῦ, ἐγὼ μένω ἐν τῷ θεῷ.
εἰ ἐγὼ τηρῶ τὰς ἐντολὰς αὐτοῦ, θεὸς μένει ἐν ἐμοί.
ἡμεῖς γινώσκομεν ὅτι θεὸς μένει ἐν ἡμῖν διὰ τοῦ πνεύματος.
θεὸς δίδωσι ἡμῖν το πνεῦμα.

## Βαθμὸς δύο

τί ἐστιν ἡ ἐντολὴ τοῦ θεοῦ;
“ὑμεῖς πιστεύετε ἐν τῷ ὀνόματι τοῦ υἱοῦ (Ἰησοῦ Χριστοῦ)” καὶ “ὑμεῖς ἀγαπᾶτε ἀλλήλους”
θεὸς ἔδωκεν ταύτην τὴν ἐντολὴν ἡμῖν.
εἰ ἐγὼ τηρῶ τὰς ἐντολὰς αὐτοῦ, ἐγὼ μένω ἐν τῷ θεῷ καὶ θεὸς μένει ἐν ἐμοί.
ἡμεῖς γινώσκομεν ὅτι θεὸς μένει ἐν ἡμῖν διὰ τοῦ πνεύματος.

θεὸς ἔδωκεν ἡμῖν το πνεῦμα.

**Βαθμὸς τρία**

καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ θεοῦ, ἵνα ἡμεῖς πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ.
καὶ ἡ ἐντολὴ αὐτοῦ ἐστιν ἵνα ἡμεῖς ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν.
καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ μένει ἐν τῷ θεῷ καὶ θεὸς μένει ἐν αὐτῷ.
καὶ ἡμεῖς γινώσκομεν ἐν τούτῳ ὅτι θεὸς μένει ἐν ἡμῖν.
ἡμεῖς γινώσκομεν ἐκ τοῦ πνεύματος οὗ θεὸς ἔδωκεν ἡμῖν.

**Τὰ ῥήματα τοῦ θεοῦ**

23 καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ
υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν
ἐντολὴν ἡμῖν. 24 καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει καὶ
αὐτὸς ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ
πνεύματος οὗ ἡμῖν ἔδωκεν.

# Κεφάλαιον Τέσσαρα

# Στοῖχοι 1–3

## Λέξεις



**Δοκιμάζω**

**ἤδη** ~ νῦν

**ψευδοπροφῆται**. εἰ ὁ θεὸς λέγει μοι καὶ ἐγὼ λέγω ἀνθρώποις, ἐγώ εἰμι **προφήτης**. Μωϋσῆς ἦν προφήτης. Ἰερημίας ἦν προφήτης. **ψευδοπροφήτης** ψευδεῖ ἐν τῷ ὀνόματι τοῦ θεοῦ.

## Βαθμὸς ἕν

ἀγαπητοί!
ὑμεῖς μὴ πιστεύετε πᾶν πνεῦμα.
ὑμεῖς δοκιμάζετε τὰ πνεύματα.
ὑμεῖς δοκιμάζετε εἰ τὸ πνεῦμα ἐστιν ἐκ τοῦ θεοῦ.
διὰ τί δοκιμάζετε τὰ πνεύματα;

ψευδοπροφῆται ἐξέρχεται εἰς τὸν κόσμον.
ὑμεῖς γινώσκετε τὸ πνεῦμα τοῦ θεοῦ ἐν τούτῳ…
εἰ πνεῦμα λέγει: "Ἰησοῦς ἦλθον ἐν σαρκί," τὸ πνεῦμα ἐστιν ἐκ τοῦ θεοῦ.
εἰ πνεῦμα οὐ λέγει τοῦτο, τὸ πνεῦμα οὐκ ἔστιν ἐκ τοῦ θεοῦ.
τοῦτό ἐστιν τὸ πνεῦμα τοῦ ἀντιχρίστου.
ἠκούσατε ὅτι τὸ πνεῦμα τοῦ ἀντιχρίστου ἔρχεται.
καὶ τὸ πνεῦμα τοῦ ἀντιχρίστου ἐστὶν νῦν ἐν τῷ κόσμῳ.

**Βαθμὸς δύο**

ἀγαπητοί!
ὑμεῖς μὴ πιστεύετε πᾶν πνεῦμα.
ἀλλὰ ὑμεῖς δοκιμάζετε τὰ πνεύματα.
ὑμεῖς δοκιμάζετε εἰ τὸ πνεῦμα ἐστιν ἐκ τοῦ θεοῦ.
διὰ τί δοκιμάζετε τὰ πνεύματα;
ὅτι πολλοὶ ψευδοπροφῆται ἐξῆλθον εἰς τὸν κόσμον.
γινώσκετε τὸ πνεῦμα τοῦ θεοῦ ἐν τούτῳ…
εἰ πνεῦμα λέγει: "Ἰησοῦς Χριστὸς ἦλθον ἐν σαρκί," τὸ πνεῦμα τοῦτό ἐστιν ἐκ τοῦ θεοῦ.
εἰ πνεῦμα οὐχ ὁμολογεῖ τὸν Ἰησοῦν, τὸ πνεῦμα οὐκ ἔστιν ἐκ τοῦ θεοῦ.
τοῦτό ἐστιν τὸ πνεῦμα τοῦ ἀντιχρίστου.
ἠκούσατε ὅτι τὸ πνεῦμα τοῦ ἀντιχρίστου ἔρχεται.
καὶ τὸ πνεῦμα τοῦ ἀντιχρίστου ἐστὶν νῦν ἤδη ἐν τῷ κόσμῳ.

**Βαθμὸς τρία**

ἀγαπητοί!
ὑμεῖς μὴ πιστεύετε παντὶ πνεύματι.
ἀλλὰ ὑμεῖς δοκιμάζετε τὰ πνεύματα.

ὑμεῖς δοκιμάζετε εἰ ἐστιν ἐκ τοῦ θεοῦ.
ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον.
γινώσκετε τὸ πνεῦμα τοῦ θεοῦ ἐν τούτῳ.
πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐληλυθότα ἐν σαρκὶ.
τὸ πνεῦμα τοῦτό ἐστιν ἐκ τοῦ θεοῦ.
καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν, οὐκ ἔστιν ἐκ τοῦ θεοῦ.
καὶ τοῦτό ἐστιν τὸ πνεῦμα τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται.
καὶ τὸ πνεῦμα τοῦ ἀντιχρίστου ἐστὶν νῦν ἤδη ἐν τῷ κόσμῳ.

**Τὰ ῥήματα τοῦ θεοῦ**

**4.1** Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ
πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται
ἐξεληλύθασιν εἰς τὸν κόσμον. 2 ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ
θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα ἐκ
τοῦ θεοῦ ἐστιν, 3 καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν ἐκ τοῦ
θεοῦ οὐκ ἔστιν· καὶ τοῦτό ἐστιν τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι
ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη.

# Στοῖχοι 4–6

**Βαθμὸς ἕν**

τεκνία!
ὑμεῖς ἐστε ἐκ τοῦ θεοῦ.
ὑμεῖς νικᾶτε τοὺς ψευδοπροφήτας.
Διὰ τί;
ὅτι ὁ θεός ἐστιν ἐν ὑμῖν.
ὁ θεός ἐστιν μείζων ἢ ὁ ἀντίχριστος.
Οἱ ψευδοπροφῆται εἰσίν ἐκ τοῦ κόσμου.
Οἱ ψευδοπροφῆται λαλοῦσιν ἐκ τοῦ κόσμου.
καὶ ὁ κόσμος ἀκούει τῶν ψευδοπροφητῶν.
ἡμεῖς ἐσμεν ἐκ τοῦ θεοῦ.
Εἰ τις γινώσκει τὸν θεὸν, αὐτὸς ἀκούει ἡμῶν.
Εἰ τις οὐκ ἀκούει ἡμῶν, αὐτὸς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ.
ἡμεῖς γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας ἐκ τούτου.
καὶ ἡμεῖς γινώσκομεν τὸ πνεῦμα τῆς πλάνης ἐκ τούτου.

**Βαθμὸς δύο**

τεκνία!
ὑμεῖς ἐστε ἐκ τοῦ θεοῦ.
καὶ ὑμεῖς νενικήκατε αὐτούς.
διὰ τί;
ὅτι ὁ θεός ἐστιν ἐν ὑμῖν.
ὁ θεός ἐστιν μείζων ἢ ὁ ἀντίχριστος.
οἱ ψευδοπροφῆται εἰσίν ἐκ τοῦ κόσμου.
διὰ τοῦτο αὐτοὶ λαλοῦσιν ἐκ τοῦ κόσμου.
καὶ ὁ κόσμος ἀκούει αὐτῶν.

ἡμεῖς ἐσμεν ἐκ τοῦ θεοῦ.
εἰ τις γινώσκει τὸν θεὸν, ἀκούει ἡμῶν.
εἰ οὐκ ἀκούει ἡμῶν, αὐτὸς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ
ἡμεῖς γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας ἐκ τούτου.
καὶ ἡμεῖς γινώσκομεν τὸ πνεῦμα τῆς πλάνης ἐκ τούτου.

**Βαθμὸς τρία**

τεκνία!
ὑμεῖς ἐστε ἐκ τοῦ θεοῦ.
καὶ ὑμεῖς νενικήκατε αὐτούς, ὅτι ὁ ἐν ὑμῖν μείζων ἐστὶν ἢ ὁ ἐν τῷ κόσμῳ.
αὐτοὶ εἰσίν ἐκ τοῦ κόσμου.
διὰ τοῦτο λαλοῦσιν ἐκ τοῦ κόσμου.
καὶ ὁ κόσμος ἀκούει αὐτῶν.
ἡμεῖς ἐσμεν ἐκ τοῦ θεοῦ.
ὁ γινώσκων τὸν θεὸν ἀκούει ἡμῶν.
ὃς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ οὐκ ἀκούει ἡμῶν.
ἡμεῖς γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης ἐκ τούτου.

**Τὰ ῥήματα τοῦ θεοῦ**

4 ὑμεῖς ἐκ τοῦ θεοῦ ἐστε, τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων
ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ· 5 αὐτοὶ ἐκ τοῦ κόσμου εἰσίν· διὰ
τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν καὶ ὁ κόσμος αὐτῶν ἀκούει. 6 ἡμεῖς ἐκ
τοῦ θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν θεὸν ἀκούει ἡμῶν, ὃς οὐκ ἔστιν ἐκ
τοῦ θεοῦ οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς
ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης.

# Στοῖχοι 7–9

## Λέξεις

**μονογενῆς** ~ μόνον γεννῶ. εἰ οὐκ ἔχω ἀδελφὸς καὶ οὐκ ἔχω ἀδελφή, ἐγώ εἰμι ὁ μονογενῆς τοῦ πατρός μου.

**ἀπέστειλεν**

θεὸς **ἀποστέλλει** Μωϋσὴς τῷ Αἰγύπτῳ.
Παῦλος **ἀποστέλλει** Τιμόθεον τῷ Ἐφέσῳ.
Παῦλος **ἀποστέλλει** Τίτον τῷ Κρήτῃ.
θεὸς **ἀποστέλλει** τὸν Ἰησοῦν εἰς τὸν κόσμον.

## Βαθμὸς ἕν

ἀγαπητοί!
ἡ ἀγάπη ἐστὶν ἐκ τοῦ θεοῦ.
ἡμεῖς ἀγαπῶμεν ἀλλήλους.
εἰ ἐγὼ ἀγαπῶ, θεὸς ἐγέννησεν με.
εἰ ἐγὼ ἀγαπῶ, γινώσκω τὸν θεόν.
εἰ ἐγὼ οὐ ἀγαπῶ, οὐ γινώσκω τὸν θεόν.
ὁ θεός ἐστιν ἀγάπη.
ἡ ἀγάπη τοῦ θεοῦ ἐφανερώθη ἐν ἡμῖν.
ὁ θεὸς ἀποστέλλει τὸν Ἰησοῦν εἰς τὸν κόσμον.
ὁ Ἰησοῦς ἐστιν ὁ μονογενῆς.
ὁ θεὸς δίδωσι ζωὴν διὰ τοῦ Ἰησοῦ.

## Βαθμὸς δύο

ἀγαπητοί!
ἡ ἀγάπη ἐστὶν ἐκ τοῦ θεοῦ.

ἡμεῖς ἀγαπῶμεν ἀλλήλους.
εἰ ἐγὼ ἀγαπῶ, θεὸς ἐγέννησέν με.
εἰ ἐγὼ ἀγαπῶ, γινώσκω τὸν θεόν.
εἰ ἐγὼ οὐ ἀγαπῶ, οὐ γινώσκω τὸν θεόν.
ὁ θεὸς ἐστίν ἀγάπη.
ἡ ἀγάπη τοῦ θεοῦ ἐφανερώθη ἐν ἡμῖν ἐν τούτῳ:
ὁ θεὸς ἀποστέλλει τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον.

> ὁ θεὸς ἀποστέλλει τίνα;
> τὸν υἱὸν τὸν μονογενῆ.
> ἵνα τί ἀποστέλλει;
> ἵνα ἡμεῖς ζήσωμεν δι᾽ αὐτοῦ.

**Βαθμὸς τρία**

ἀγαπητοί!
ἡμεῖς ἀγαπῶμεν ἀλλήλους.
ὅτι ἡ ἀγάπη ἐστὶν ἐκ τοῦ θεοῦ.
καὶ πᾶς ὁ ἀγαπῶν γεγέννηται ἐκ τοῦ θεοῦ.
καὶ πᾶς ὁ ἀγαπῶν γινώσκει τὸν θεόν.
ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν θεόν, ὅτι ὁ θεός ἐστιν ἀγάπη.
ἡ ἀγάπη τοῦ θεοῦ ἐφανερώθη ἐν ἡμῖν ἐν τούτῳ.
ὅτι ὁ θεὸς ἀπέσταλκεν τὸν υἱὸν αὐτοῦ (τὸν μονογενῆ) εἰς τὸν κόσμον, ἵνα ἡμεῖς ζήσωμεν δι᾽ αὐτοῦ.

**Τὰ ῥήματα τοῦ θεοῦ**

7 Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐστιν, καὶ
πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ γεγέννηται καὶ γινώσκει τὸν θεόν. 8 ὁ μὴ
ἀγαπῶν οὐκ ἔγνω τὸν θεόν, ὅτι ὁ θεὸς ἀγάπη ἐστίν. 9 ἐν τούτῳ
ἐφανερώθη ἡ ἀγάπη τοῦ θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν
μονογενῆ ἀπέσταλκεν ὁ θεὸς εἰς τὸν κόσμον ἵνα ζήσωμεν δι᾽ αὐτοῦ.

# Στοῖχοι 10–12

## Λέξεις




**τετελειωμένη ~ τέλειος**

## Βαθμὸς ἕν

ἡ ἀγάπη ἐστὶν ἐν τοῦτο.
ἡμεῖς οὐκ ἠγαπήσαμεν τὸν θεόν.
θεὸς ἠγάπησεν ἡμᾶς
θεὸς ἀπέστειλεν τὸν Ἰησοῦν ὡς ἱλασμός.
ὁ Ἰησοῦς ἐστιν ἱλασμὸς περὶ τῶν ἁμαρτιῶν ἡμῶν.
ἀγαπητοί!
ὁ θεὸς ἀγαπᾷ ἡμᾶς ὡς τοῦτο.
ἡμεῖς ὀφείλομεν καὶ ἀγαπᾶν ἀλλήλους.
οὐχ εἷς ἄνθρωπος ἔβλεψεν τὸν θεόν.
ἀλλὰ εἰ ἡμεῖς ἀγαπῶμεν ἀλλήλους, ὁ θεὸς μένει ἐν ἡμῖν.
καὶ ἡ ἀγάπη τοῦ θεοῦ ἐστιν τέλεια ἐν ἡμῖν.

**Βαθμὸς δύο**

ἡ ἀγάπη ἐστὶν ἐν τούτῳ...

ἡμεῖς οὐκ ἠγαπήσαμεν τὸν θεόν,
ἀλλ’ θεὸς ἠγάπησεν ἡμᾶς
καὶ αὐτὸς ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ὡς ἱλασμόν.
ὁ Ἰησοῦς ἐστιν ἱλασμὸς περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

ἀγαπητοί!
εἰ ὁ θεὸς ἠγάπησεν ἡμᾶς ὡς τοῦτο.
ἡμεῖς ὀφείλομεν ἀγαπᾶν ἀλλήλους.
οὐδεὶς ἔβλεψεν τὸν θεὸν ἀπ’ ἀρχῆς ἕως τοῦ νῦν.
ἀλλὰ εἰ ἡμεῖς ἀγαπῶμεν ἀλλήλους, ὁ θεὸς μένει ἐν ἡμῖν.
καὶ εἰ ἡμεῖς ἀγαπῶμεν ἀλλήλους, ἡ ἀγάπη τοῦ θεοῦ ἐστιν ἐν ἡμῖν τετελειωμένη.

**Βαθμὸς τρία**

ἡ ἀγάπη ἐστὶν ἐν τούτῳ...

οὐχ ὅτι ἡμεῖς ἠγαπήκαμεν τὸν θεόν,
ἀλλ’ ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς
καὶ αὐτὸς ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

ἀγαπητοί!
εἰ ὁ θεὸς ἠγάπησεν ἡμᾶς οὕτως.
καὶ ἡμεῖς ὀφείλομεν ἀγαπᾶν ἀλλήλους.
οὐδεὶς τεθέαται θεὸν πώποτε.
ἐὰν ἡμεῖς ἀγαπῶμεν ἀλλήλους, ὁ θεὸς μένει ἐν ἡμῖν.
καὶ ἐὰν ἡμεῖς ἀγαπῶμεν ἀλλήλους, ἡ ἀγάπη τοῦ θεοῦ ἐν ἡμῖν τετελειωμένη ἐστιν.

**Τὰ ῥήματα τοῦ θεοῦ**

[10] ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήκαμεν τὸν θεόν, ἀλλ᾽
ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς καὶ ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἱλασμὸν
περὶ τῶν ἁμαρτιῶν ἡμῶν. [11] ἀγαπητοί, εἰ οὕτως ὁ θεὸς ἠγάπησεν
ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. [12] θεὸν οὐδεὶς πώποτε
τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη
αὐτοῦ ἐν ἡμῖν τετελειωμένη ἐστιν.

# Στοῖχοι 13–16α

**Βαθμὸς ἕν**

ἡμεῖς μένομεν ἐν τῷ θεῷ.
καὶ θεὸς μένει ἐν ἡμῖν.
ἡμεῖς γινώσκομεν ταύτα.
ἡμεῖς γινώσκομεν ἐν τούτῳ: θεὸς δέδωκεν τὸ πνεῦμα ἡμῖν.
ἡμεῖς βλέπομεν.
ἡμεῖς λέγομεν ὑμῖν: "ὁ πατὴρ ἀπέστειλεν τὸν υἱόν."
(ὁ υἱός ἐστιν σωτήρ τοῦ κόσμου)
εἰ ἐγὼ λέγω: "Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ"
    ὁ θεὸς μένει ἐν ἐμοί.
    Καὶ ἐγὼ μένω ἐν τῷ θεῷ.
ἡμεῖς γινώσκομεν τὴν ἀγάπην.
ἡμεῖς πιστεύομεν τὴν ἀγάπην.
ὁ θεὸς ἔχει τὴν ἀγάπην ἐν ἡμῖν.

**Βαθμὸς δύο**

ἡμεῖς γινώσκομεν ὅτι ἡμεῖς μένομεν ἐν τῷ θεῷ.
καὶ ἡμεῖς γινώσκομεν ὅτι θεὸς μένει ἐν ἡμῖν.
γινώσκομεν ἐν τούτῳ: θεὸς δέδωκεν ἡμῖν ἐκ τοῦ πνεύματος αὐτοῦ.
καὶ ἡμεῖς ἐβλέψαμεν.
καὶ ἡμεῖς μαρτυροῦμεν: ὁ πατὴρ ἀπέσταλκεν τὸν υἱόν.
(ὁ υἱός ἐστιν σωτήρ τοῦ κόσμου)
εἰ ἐγὼ λέγω: "Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ," ὁ θεὸς μένει ἐν ἐμοί.
εἰ ἐγὼ λέγω τοῦτο, ἐγὼ μένω καὶ ἐν τῷ θεῷ.
καὶ ἡμεῖς ἐγνώκαμεν τὴν ἀγάπην.
καὶ ἡμεῖς πεπιστεύκαμεν τὴν ἀγάπην.

ὁ θεὸς ἔχει τὴν ἀγάπην ἐν ἡμῖν.

### Βαθμὸς τρία

ἡμεῖς γινώσκομεν ὅτι ἡμεῖς μένομεν ἐν αὐτῷ καὶ αὐτὸς μένει ἐν ἡμῖν.
γινώσκομεν ἐν τούτῳ… ὅτι αὐτὸς δέδωκεν ἡμῖν ἐκ τοῦ πνεύματος αὐτοῦ.
καὶ ἡμεῖς τεθεάμεθα καὶ ἡμεῖς μαρτυροῦμεν.
ἡμεῖς μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκεν τὸν υἱὸν σωτῆρα τοῦ κόσμου.
ὃς ἐὰν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ὁ θεὸς μένει ἐν αὐτῷ.
καὶ αὐτὸς μένει ἐν τῷ θεῷ.
καὶ ἡμεῖς ἐγνώκαμεν.
καὶ ἡμεῖς πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ὁ θεὸς ἔχει ἐν ἡμῖν.

### Τὰ ῥήματα τοῦ θεοῦ

[13] Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι
ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. [14] καὶ ἡμεῖς τεθεάμεθα καὶ
μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκεν τὸν υἱὸν σωτῆρα τοῦ κόσμου.
[15] ὃς ἐὰν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ὁ θεὸς ἐν αὐτῷ
μένει καὶ αὐτὸς ἐν τῷ θεῷ. [16] καὶ ἡμεῖς ἐγνώκαμεν καὶ
πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν.

# Στοῖχοι 16β–18

## Λέξεις




ὁ παῖς **βάλλει** τὸν λίθον




**ἡ κρίσις**

ἐν τῇ ἡμέρᾳ τῆς **κρίσεως**, ὁ Ἰησοῦς **κρινεῖ** τὸν κόσμον.




**κόλασιν**[7]




[7] Please pray for this boy who has three arms.




**φοβοῦμαι**

ἡ γυνὴ **φοβεῖται** τὸν ὄφιν

ἡ γυνὴ ἔχει **φόβον.**

**ἔξω** < > ἐν

**Βαθμὸς ἕν**

Ὁ θεός ἐστιν ἀγάπη.

Εἰ ἐγὼ μένω ἐν τῇ ἀγάπῃ, ἐγὼ μένω ἐν τῷ θεῷ.

Εἰ ἐγὼ μένω ἐν τῇ ἀγάπῃ, ὁ θεὸς μένει ἐν ἐμοί.

εἰ θεὸς μένει ἐν ἡμῖν, ἡ ἀγάπη ἐστὶν τελεία.

εἰ ἡ ἀγάπη ἐστὶν τελεία, ἡμεῖς ἔχωμεν παρρησίαν.

ἡμεῖς ἔχωμεν παρρησίαν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ, καθὼς Ἰησοῦς ἐστιν.

ἡ ἀγάπη οὐκ ἔχει φόβος.

ἡ τελεία ἀγάπη βάλλει τὸν φόβον ἔξω.

ὁ φόβος ἔχει κόλασιν.

Εἰ ἐγὼ φοβοῦμαι, ἡ ἀγάπη οὐκ ἔστιν τελεία.

**Βαθμὸς δύο**

Ὁ θεός ἐστιν ἀγάπη.

Εἰ ἐγὼ μένω ἐν τῇ ἀγάπῃ, ἐγὼ μένω ἐν τῷ θεῷ.

καὶ ὁ θεὸς μένει ἐν ἐμοί.
εἰ θεὸς μένει ἐν ἡμῖν, ἡ ἀγάπη ἐστὶν τελεία μεθ' ἡμῶν.
εἰ ἡ ἀγάπη ἐστὶν τελεία, ἡμεῖς ἔχωμεν παρρησίαν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.
ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ, καθὼς Ἰησοῦς ἐστιν.
φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ.
ἀλλ' ἡ τελεία ἀγάπη βάλλει τὸν φόβον ἔξω.
ὁ φόβος ἔχει κόλασιν.
Εἰ ἐγὼ φοβοῦμαι, ἡ ἀγάπη οὐκ ἐστὶν τελεία ἐν ἐμοί.

### Βαθμὸς τρία

Ὁ θεός ἐστιν ἀγάπη.
καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ μένει ἐν τῷ θεῷ.
καὶ ὁ θεὸς μένει ἐν τῷ μένοντι ἐν τῇ ἀγάπῃ.
ἡ ἀγάπη τετελείωται μεθ' ἡμῶν ἐν τούτῳ.
ἵνα ἡμεῖς ἔχωμεν παρρησίαν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.
ὅτι ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ καθὼς ἐκεῖνός ἐστιν.
φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ.
ἀλλ' ἡ τελεία ἀγάπη βάλλει τὸν φόβον ἔξω.
ὅτι ὁ φόβος ἔχει κόλασιν.
ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ.

### Τὰ ῥήματα τοῦ θεοῦ

Ὁ θεὸς ἀγάπη ἐστίν, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ θεῷ μένει καὶ ὁ θεὸς ἐν αὐτῷ μένει. [17] ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παρρησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστιν καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ. [18] φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει, ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ.

# Στοῖχοι 19–21

### Βαθμὸς ἕν

θεὸς ἠγάπησεν ἡμᾶς.
νῦν ἡμεῖς ἀγαπῶμεν.
ἐγὼ ψεύδομαι, εἰ ἐγὼ μισῶ τὸν ἀδελφόν καὶ λέγω "ἀγαπῶ τὸν θεόν."
εἰ ἐγὼ οὐ ἀγαπῶ τὸν ἀδελφόν μου, ἐγὼ οὐ δύναμαι ἀγαπᾶν τὸν θεόν.
ἐγὼ ἔβλεψα τὸν ἀδελφόν.
ἐγὼ οὐκ ἔβλεψα τὸν θεόν.
θεὸς δίδωσι ἐντολὴν ἡμῖν:
εἰ σὺ ἀγαπᾶς τὸν θεόν, ἀγάπα τὸν ἀδελφόν σου!

### Βαθμὸς δύο

ἡμεῖς ἀγαπῶμεν, ὅτι θεὸς ἠγάπησεν ἡμᾶς πρῶτος.
εἰ λέγω: "Ἀγαπῶ τὸν θεόν," καὶ μισῶ τὸν ἀδελφόν μου, ἐγώ εἰμι ψεύστης.
εἰ οὐ ἀγαπῶ τὸν ἀδελφόν μου, ἐγὼ οὐ δύναμαι ἀγαπᾶν τὸν θεόν.
ἐγὼ ἑώρακα τὸν ἀδελφόν, ἀλλ' ἐγὼ οὐχ ἑώρακα τὸν θεόν.
ἡμεῖς ἔχομεν ἐντολὴν ἀπ' αὐτοῦ.
Αὕτη ἐστὶν ἡ ἐντολή: εἰ σὺ ἀγαπᾶς τὸν θεόν, ἀγάπα τὸν ἀδελφόν σου!

### Βαθμὸς τρία

ἡμεῖς ἀγαπῶμεν, ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς πρῶτος.
ἐάν τις εἴπῃ ὅτι Ἀγαπῶ τὸν θεόν.
καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ.
οὗτός ἐστιν ψεύστης.
ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακεν, οὐ δύναται ἀγαπᾶν τὸν θεὸν ὃν οὐχ ἑώρακεν.

καὶ ἡμεῖς ἔχομεν ταύτην τὴν ἐντολὴν ἀπ᾽ αὐτοῦ:
ἵνα ὁ ἀγαπῶν τὸν θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

**Τὰ ῥήματα τοῦ θεοῦ**

19 ἡμεῖς ἀγαπῶμεν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς. 20 ἐάν τις εἴπῃ
ὅτι Ἀγαπῶ τὸν θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ
γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακεν, τὸν θεὸν ὃν οὐχ
ἑώρακεν οὐ δύναται ἀγαπᾶν. 21 καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ᾽
αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

# Κεφάλαιον Πέντε

# Στοῖχοι 1–5

## Λέξεις



ὁ ἐλέφας ἐστὶν **βαρύς**. οἱ ἐλέφαντες εἰσὶν **βαρεῖς.**

### Βαθμὸς ἕν

ὁ Ἰησοῦς ἐστιν ὁ χριστὸς.
Εἰ ἐγὼ πιστεύω τοῦτο, θεὸς ἐγέννησέν με.
Εἰ ἐγὼ ἀγαπῶ τὸν θεόν, ἐγὼ ἀγαπῶ τὰ τέκνα αὐτοῦ.
εἰ ἐγὼ ἀγαπῶ τὸν θεὸν καὶ ποιῶ τὰς ἐντολάς, ἐγὼ ἀγαπῶ τὰ τέκνα αὐτοῦ.
εἰ ἐγὼ τηρῶ τὰς ἐντολάς, ἐγὼ ἀγαπῶ τὸν θεόν.
αἱ ἐντολαὶ αὐτοῦ οὐκ εἰσὶν βαρεῖαι.
Εἰ ὁ θεὸς ἐγέννησέν με, ἐγὼ νικῶ τὸν κόσμον.
ἡ νίκη ἐστὶν ἡ πίστις ἡμῶν.
ἡ νίκη αὕτη νικᾷ τὸν κόσμον.
ὁ Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ

Εἰ ἐγὼ πιστεύω τοῦτο, ἐγὼ νικῶ τὸν κόσμον.

**Βαθμὸς δύο**

Εἰ ἐγὼ πιστεύω ὅτι Ἰησοῦς ἐστιν ὁ χριστός, θεὸς ἐγέννησέν με.
Εἰ ἐγὼ ἀγαπῶ τὸν θεόν, ἐγὼ ἀγαπῶ καὶ τὰ τέκνα αὐτοῦ.
ἡμεῖς γινώσκομεν ὅτι ἡμεῖς ἀγαπῶμεν τὰ τέκνα αὐτοῦ.
ἡμεῖς γινώσκομεν εἰ ἡμεῖς ἀγαπῶμεν τὸν θεὸν καὶ ἡμεῖς ποιῶμεν τὰς ἐντολὰς αὐτοῦ.
εἰ ἐγὼ τηρῶ τὰς ἐντολὰς τοῦ θεοῦ, ἐγὼ ἀγαπῶ τὸν θεόν,
αἱ ἐντολαὶ αὐτοῦ οὐκ εἰσιν βαρεῖαι.
Εἰ ὁ θεὸς ἐγέννησέν με, νικήσω τὸν κόσμον.
ἡ πίστις ἡμῶν ἐστιν ἡ νίκη.
ἡ νίκη αὕτη νικᾷ τὸν κόσμον.
Εἰ ἐγὼ πιστεύω ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, νικῶ τὸν κόσμον.

**Βαθμὸς τρία**

Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ χριστὸς γεγέννηται ἐκ τοῦ θεοῦ.
καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ.
ἡμεῖς γινώσκομεν ἐν τούτῳ ὅτι ἡμεῖς ἀγαπῶμεν τὰ τέκνα τοῦ θεοῦ.
ὅταν ἡμεῖς ἀγαπῶμεν τὸν θεὸν καὶ ἡμεῖς ποιῶμεν τὰς ἐντολὰς αὐτοῦ.
αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ.
ἵνα ἡμεῖς τηρῶμεν τὰς ἐντολὰς αὐτοῦ.
καὶ αἱ ἐντολαὶ αὐτοῦ οὐκ εἰσίν βαρεῖαι.
ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ νικᾷ τὸν κόσμον.
καὶ αὕτη ἐστὶν ἡ νίκη (ἡ νικήσασα τὸν κόσμον)... ἡ πίστις ἡμῶν·
τίς δέ ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ;

**Τὰ ῥήματα τοῦ θεοῦ**

5.1 Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ χριστὸς ἐκ τοῦ θεοῦ γεγέννηται,
καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ
αὐτοῦ. 2 ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ θεοῦ, ὅταν
τὸν θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ ποιῶμεν· 3 αὕτη γάρ ἐστιν
ἡ ἀγάπη τοῦ θεοῦ ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν, καὶ αἱ ἐντολαὶ
αὐτοῦ βαρεῖαι οὐκ εἰσίν, 4 ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ νικᾷ
τὸν κόσμον. καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις
ἡμῶν· 5 τίς δέ ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς
ἐστιν ὁ υἱὸς τοῦ θεοῦ;

# Στοῖχοι 6–9

**Λέξεις**



Τὸ ποτήριον οὐκ ἔχει **ὕδωρ** | τὸ ποτήριον ἔχει **ὕδωρ**




ἡ **μάρτυς μαρτυρεῖ** τὴν **μαρτυρίαν**

**Βαθμὸς ἕν**

ὁ Ἰησοῦς Χριστὸς ἔρχεται.
Αὐτὸς ἔρχεται δι’ ὕδατος καὶ αἵματος.
ὁ Ἰησοῦς οὐκ ἔρχεται ἐν τῷ ὕδατι μόνον.
ἀλλ’ ὁ Ἰησοῦς ἔρχεται καὶ ἐν τῷ αἵματι.
τὸ πνεῦμα μαρτυρεῖ.
τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια.
τρεῖς μαρτυροῦσιν.
τὸ πνεῦμα μαρτυρεῖ.
καὶ τὸ ὕδωρ μαρτυρεῖ.
καὶ τὸ αἷμα μαρτυρεῖ.

οἱ τρεῖς λέγουσιν τούς αὐτοὺς λόγους.
ἡμεῖς λαμβάνομεν τὴν μαρτυρίαν ἀπὸ τῶν ἀνθρώπων.
ἡ μαρτυρία τοῦ θεοῦ ἐστιν μείζων.
αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ:
θεὸς μαρτυρεῖ περὶ τοῦ υἱοῦ αὐτοῦ.

**Βαθμὸς δύο**

ὁ Ἰησοῦς Χριστὸς ἔρχεται δι' ὕδατος καὶ αἵματος.
ὁ Ἰησοῦς οὐκ ἔρχεται ἐν τῷ ὕδατι μόνον.
ἀλλ' ἔρχεται ἐν τῷ ὕδατι καὶ ἐν τῷ αἵματι.
καὶ τὸ πνεῦμα μαρτυρεῖ.
τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια.
τρεῖς εἰσιν οἱ μαρτυροῦντες.
τὸ πνεῦμα μαρτυρεῖ.
καὶ τὸ ὕδωρ μαρτυρεῖ.
καὶ τὸ αἷμα μαρτυρεῖ.
καὶ οἱ τρεῖς ὁμολογοῦσιν μετ' ἀλλήλων.
ἡμεῖς λαμβάνομεν τὴν μαρτυρίαν ἀπὸ τῶν ἀνθρώπων.
ἡ μαρτυρία τοῦ θεοῦ ἐστιν μείζων.
αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ:
θεὸς μεμαρτύρηκεν περὶ τοῦ υἱοῦ αὐτοῦ.

**Βαθμὸς τρία**

οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς Χριστός.
ὁ Ἰησοῦς οὐκ ἔρχεται ἐν τῷ ὕδατι μόνον.
ἀλλ' ἔρχεται ἐν τῷ ὕδατι καὶ ἐν τῷ αἵματι.
καὶ τὸ πνεῦμά ἐστιν τὸ μαρτυροῦν.
ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια.
ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες.

τὸ πνεῦμα μαρτυρεῖ.
καὶ τὸ ὕδωρ μαρτυρεῖ.
καὶ τὸ αἷμα μαρτυρεῖ.
καὶ οἱ τρεῖς εἰσιν εἰς τὸ ἕν.
εἰ ἡμεῖς λαμβάνομεν τὴν μαρτυρίαν τῶν ἀνθρώπων, ἡ μαρτυρία τοῦ θεοῦ μείζων ἐστίν.
ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ.
ἡ μαρτυρία ἐστὶν ὅτι θεὸς μεμαρτύρηκεν περὶ τοῦ υἱοῦ αὐτοῦ.

### Τὰ ῥήματα τοῦ θεοῦ

6 Οὗτός ἐστιν ὁ ἐλθὼν δι’ ὕδατος καὶ αἵματος, Ἰησοῦς Χριστός· οὐκ ἐν
τῷ ὕδατι μόνον ἀλλ’ ἐν τῷ ὕδατι καὶ ἐν τῷ αἵματι· καὶ τὸ πνεῦμά
ἐστιν τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. 7 ὅτι τρεῖς εἰσιν
οἱ μαρτυροῦντες, 8 τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς
τὸ ἕν εἰσιν. 9 εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ
μαρτυρία τοῦ θεοῦ μείζων ἐστίν, ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ
ὅτι μεμαρτύρηκεν περὶ τοῦ υἱοῦ αὐτοῦ.

# Στοῖχοι 10–12

## Βαθμὸς ἕν

Εἰ τις πιστεύει εἰς τὸν Ἰησοῦν, οὗτος ἔχει τὴν μαρτυρίαν.
Εἰ τις οὐ πιστεύει τῷ θεῷ, οὗτος ποίει θεὸν ψεύστην.
Οὗτος γὰρ οὐ πιστεύει εἰς τὴν μαρτυρίαν τοῦ θεοῦ.
ἡ μαρτυρία ἐστιν περὶ τοῦ Ἰησοῦ.
αὕτη ἐστὶν ἡ μαρτυρία:
ὁ θεὸς ἔδωκεν ζωὴν αἰώνιον ἡμῖν.
ἡ ζωὴ ἐστιν ἐν τῷ Ἰησοῦ.
Εἰ ἐγὼ ἔχω τὸν Ἰησοῦν, ἐγὼ ἔχω τὴν ζωήν.
Εἰ ἐγὼ οὐκ ἔχω τὸν Ἰησοῦν, ἐγὼ οὐκ ἔχω τὴν ζωὴν

## Βαθμὸς δύο

Εἰ τις πιστεύει εἰς τὸν Ἰησοῦν, οὗτος ἔχει τὴν μαρτυρίαν ἐν αὑτῷ.
Εἰ τις οὐ πιστεύει τῷ θεῷ, οὗτος ποίει θεὸν ψεύστην.
Οὗτος γὰρ οὐ πιστεύει εἰς τὴν μαρτυρίαν τοῦ θεοῦ περὶ τοῦ Ἰησοῦ.
αὕτη ἐστὶν ἡ μαρτυρία:
ὁ θεὸς ἔδωκεν ζωὴν αἰώνιον ἡμῖν.
ἡ ζωὴ ἐστιν ἐν τῷ υἱῷ αὐτοῦ.
Εἰ τις ἔχει τὸν υἱὸν, οὗτος ἔχει τὴν ζωήν.
Εἰ τις οὐκ ἔχει τὸν υἱὸν τοῦ θεοῦ, οὗτος οὐκ ἔχει τὴν ζωὴν.

## Βαθμὸς τρία

ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν αὑτῷ.
ὁ μὴ πιστεύων τῷ θεῷ πεποίηκεν  αὐτὸν ψεύστην.
ὅτι αὐτὸς οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν.
ἡ μαρτυρία ἣ ὁ θεὸς μεμαρτύρηκεν περὶ τοῦ υἱοῦ αὐτοῦ.

καὶ αὕτη ἐστὶν ἡ μαρτυρία...
ὅτι ὁ θεὸς ἔδωκεν ζωὴν αἰώνιον ἡμῖν.
καὶ αὕτη ἡ ζωὴ ἐστιν ἐν τῷ υἱῷ αὐτοῦ.
ὁ ἔχων τὸν υἱὸν ἔχει τὴν ζωήν.
ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ οὐκ ἔχει τὴν ζωὴν.

### Τὰ ῥήματα τοῦ θεοῦ

10 ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν αὑτῷ· ὁ μὴ
πιστεύων τῷ θεῷ ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς
τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ.
11 καὶ
αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ὁ θεὸς ἡμῖν, καὶ
αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν.
12 ὁ ἔχων τὸν υἱὸν ἔχει τὴν ζωήν·
ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ τὴν ζωὴν οὐκ ἔχει.

# Στοῖχοι 13–15

## Λέξεις

**τὰ αἰτήματα.** Εἰ ἐγὼ αἰτῶ τι, τοῦτό ἐστιν τὸ **αἴτημα** μου.

## Βαθμὸς ἕν

ἐγὼ γράφω ταῦτα ὑμῖν.
ἵνα τί ἐγὼ γράφω ταῦτα;
ἵνα γινώσκετε ὅτι ὑμεῖς ἔχετε ζωὴν αἰώνιον.
ὑμεῖς ἔχετε ζωὴν αἰώνιον, εἰ ὑμεῖς πιστεύετε.
ὑμεῖς πιστεύετε εἰς τίνα;
ὑμεῖς πιστεύετε εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ.
ἡμεῖς ἔχομεν παρρησίαν πρὸς τὸν θεόν.
αὕτη ἐστὶν ἡ παρρησία:

> εἰ ἡμεῖς αἰτούμεθα τι, θεὸς ἀκούει ἡμῶν.
> ἡμεῖς αἰτούμεθα κατὰ τὸ θέλημα θεοῦ.
> θεὸς ἀκούει ἡμῶν.
> θεὸς ἀκούει τῶν αἰτημάτων ἡμῶν.
> ἡμεῖς ἔχομεν τὰ αἰτήματα ἡμῶν.
> ἡμεῖς οἴδαμεν ταῦτα.

## Βαθμὸς δύο

ἐγὼ γράφω ταῦτα ὑμῖν.
ἵνα τί ἐγὼ γράφω ταῦτα;
ἵνα ὑμεῖς γινώσκητε ὅτι ὑμεῖς ἔχετε ζωὴν αἰώνιον.
εἰ ὑμεῖς πιστεύετε, ὑμεῖς γινώσκητε ὅτι ὑμεῖς ἔχετε ζωὴν αἰώνιον
ὑμεῖς πιστεύετε εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ.
ἡμεῖς ἔχομεν παρρησίαν πρὸς τὸν θεόν.

αὕτη ἐστὶν ἡ παρρησία:

εἰ ἡμεῖς αἰτούμεθα τι, θεὸς ἀκούει ἡμῶν.
ἀλλὰ μόνον εἰ αὐτὸ ἐστιν κατὰ τὸ θέλημα θεοῦ.
ἡμεῖς οἴδαμεν ὅτι θεὸς ἀκούει ἡμῶν.
εἰ ἡμεῖς αἰτούμεθα τι, θεὸς ἀκούει αὐτό.
εἰ θεὸς ἀκούει αὐτό, ἡμεῖς ἔχομεν τὰ αἰτήματα ἡμῶν ἀπ᾽ αὐτοῦ.
ἡμεῖς οἴδαμεν ταῦτα.

### Βαθμὸς τρία

ἐγὼ ἔγραψα ταῦτα ὑμῖν.
ἵνα εἰδῆτε ὅτι ὑμεῖς ἔχετε ζωὴν αἰώνιον.
ἐγὼ ἔγραψα ταῦτα τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ.
καὶ αὕτη ἐστὶν ἡ παρρησία ἣν ἡμεῖς ἔχομεν πρὸς αὐτόν...
ὅτι ἐὰν ἡμεῖς αἰτώμεθα τι κατὰ τὸ θέλημα αὐτοῦ, θεὸς ἀκούει ἡμῶν.
καὶ ἐὰν ἡμεῖς οἴδαμεν ὅτι θεὸς ἀκούει ἡμῶν (ὃ ἐὰν αἰτώμεθα),
ἡμεῖς οἴδαμεν ὅτι ἡμεῖς ἔχομεν τὰ αἰτήματα ἃ ἡμεῖς ᾐτήκαμεν ἀπ᾽ αὐτοῦ.

### Τὰ ῥήματα τοῦ θεοῦ

13 Ταῦτα ἔγραψα ὑμῖν ἵνα εἰδῆτε ὅτι ζωὴν ἔχετε αἰώνιον, τοῖς
πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ. 14 καὶ αὕτη ἐστὶν ἡ
παρρησία ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα
αὐτοῦ ἀκούει ἡμῶν. 15 καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει ἡμῶν ὃ ἐὰν
αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν ἀπ᾽ αὐτοῦ.

# Στοῖχοι 16–17

**Βαθμὸς ἕν**

Εἰ σὺ βλέπεις τὸν ἀδελφόν σοῦ.
Καὶ ὁ ἀδελφὸς ἁμαρτάνει
Σὺ αἰτήσεις τὸν θεόν.
θεὸς δώσει ζωήν αὐτῷ.
εἰ ἡ ἁμαρτία οὐκ ἔστιν πρὸς θάνατον, σὺ αἰτήσεις τὸν θεόν.
εἰ ἁμαρτία ἐστὶν πρὸς θάνατον, σὺ μὴ αἴτησον περὶ ἐκείνης.
πᾶσα ἀδικία ἐστιν ἁμαρτία.
ἀλλὰ οὐ πᾶσα ἁμαρτία ἐστὶν πρὸς θάνατον.

**Βαθμὸς δύο**

Εἰ σὺ βλέπεις τὸν ἀδελφόν σοῦ.
Καὶ ὁ ἀδελφὸς ἁμαρτάνει
Σὺ αἰτήσεις τὸν θεὸν περὶ τοῦ ἀδελφοῦ.
θεὸς δώσει ζωήν τῷ ἀδελφῷ ἐκείνῳ.
Εἰ ἡ ἁμαρτία οὐκ ἔστιν πρὸς θάνατον, σὺ αἰτήσεις.
θεὸς δώσει ζωήν, εἰ ὁ ἀδελφὸς οὐ ἁμαρτάνει πρὸς θάνατον.
ἁμαρτία ἔστιν πρὸς θάνατον·
ἐγὼ οὐ λέγω: σὺ αἰτήσεις περὶ ἐκείνης.
πᾶσα ἀδικία ἐστὶν ἁμαρτία.
ἀλλὰ οὐ πᾶσα ἁμαρτία ἐστὶν πρὸς θάνατον.

**Βαθμὸς τρία**

ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα, αἰτήσει.
καὶ θεὸς δώσει ζωήν αὐτῷ.
Εἰ ἡ ἁμαρτία οὐκ ἔστιν πρὸς θάνατον, αἰτήσει.

θεὸς δώσει ζωήν τοῖς ἁμαρτάνουσιν μὴ πρὸς θάνατον.
ἁμαρτία ἔστιν πρὸς θάνατον·
ἐγὼ οὐ λέγω ἵνα τις ἐρωτήσῃ περὶ ἐκείνης.
πᾶσα ἀδικία ἐστίν ἁμαρτία.
Οὐ πᾶσα ἁμαρτία ἐστὶν πρὸς θάνατον.

**Τὰ ῥήματα τοῦ θεοῦ**

[16] ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωήν, τοῖς ἁμαρτάνουσιν μὴ πρὸς θάνατον. ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ.
[17] πᾶσα ἀδικία ἁμαρτία ἐστίν, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον.

# Στοῖχοι 19–21

## Λέξεις




Οἱ στρατιῶται **φυλάσσουσιν** τὸν τάφον τοῦ Ἰησοῦ.








οὐκ ἔχω **διάνοιαν**. οὐ δύναμαι γινώσκειν οὐδέν.

ἔχω **διάνοιαν**. δύναμαι γινώσκειν τι.

## Βαθμὸς ἕν

τὸ τέκνον τοῦ θεοῦ οὐχ ἁμαρτάνει.
ἡμεῖς γινώσκομεν τοῦτο.
ἀλλὰ θεὸς φυλάσσει τοῦ τέκνου αὐτοῦ.
ὁ Σατανᾶς οὐχ ἅπτεται τὸ τέκνον τοῦ θεοῦ.
ἡμεῖς ἐσμεν ἐκ τοῦ θεοῦ.
ἡμεῖς γινώσκομεν τοῦτο.
ὁ κόσμος ὅλος κεῖται ἐν τῷ Σατανᾶ.
ἡμεῖς γινώσκομεν:

> ὁ υἱὸς τοῦ θεοῦ ἧλθεν.
> καὶ ὁ υἱὸς δέδωκεν ἡμῖν διάνοιαν.
> καὶ γινώσκομεν τὸν ἀληθινόν.

ἡμεῖς ἐσμὲν ἐν τῷ ἀληθινῷ.
ἡμεῖς ἐσμεν ἐν τῷ Ἰησοῦ Χριστῷ.
οὗτός ἐστιν ὁ ἀληθινὸς θεός.
οὗτός ἐστιν ἡ ζωὴ αἰώνιος.
τεκνία!
ὑμεῖς φυλάξατε ὑμᾶς ἀπὸ τῶν εἰδώλων.

## Βαθμὸς δύο

Εἴ τις γεγέννηται ἐκ τοῦ θεοῦ, αὐτὸς οὐχ ἁμαρτάνει.
ἡμεῖς γινώσκομεν τοῦτο.
ἀλλὰ θεὸς φυλάσσει αὐτόν (ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ).[8]
καὶ ὁ Σατανᾶς οὐχ ἅπτεται αὐτοῦ.
ἡμεῖς ἐσμεν ἐκ τοῦ θεοῦ.
ἡμεῖς γινώσκομεν τοῦτο.
καὶ ὁ κόσμος ὅλος κεῖται ἐν τῷ Σατανᾶ.

---

[8] This is a difficult clause. I have taken ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ as a *pendant nominative* of αὐτὸν.

ἡμεῖς δὲ γινώσκομεν:

ὁ υἱὸς τοῦ θεοῦ ἦλθεν.

καὶ ὁ υἱὸς δέδωκεν ἡμῖν διάνοιαν.

ἵνα γινώσκωμεν τὸν ἀληθινόν.

καὶ ἡμεῖς ἐσμεν ἐν τῷ ἀληθινῷ

ἡμεῖς ἐσμεν ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ.

οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ζωὴ αἰώνιος.

Τεκνία!

ὑμεῖς φυλάξατε ὑμᾶς ἀπὸ τῶν εἰδώλων.

**Βαθμὸς τρία**

ἡμεῖς οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει.

ἀλλὰ θεὸς τηρεῖ αὐτόν—ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ.[9]

καὶ ὁ Σατανᾶς οὐχ ἅπτεται αὐτοῦ.

ἡμεῖς οἴδαμεν ὅτι ἡμεῖς ἐσμεν ἐκ τοῦ θεοῦ.

καὶ ὁ κόσμος ὅλος κεῖται ἐν τῷ Σατανᾶ.

ἡμεῖς οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει.

καὶ ἡμεῖς οἴδαμεν ὅτι ὁ Ἰησοῦς δέδωκεν ἡμῖν διάνοιαν.

ὁ Ἰησοῦς δέδωκεν διάνοια ἵνα γινώσκωμεν τὸν ἀληθινόν.

καὶ ἡμεῖς ἐσμὲν ἐν τῷ ἀληθινῷ

ἡμεῖς ἐσμὲν ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ.

οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ζωὴ αἰώνιος.

Τεκνία!

ὑμεῖς φυλάξατε ἑαυτὰ ἀπὸ τῶν εἰδώλων.

[9] This is a difficult clause. I have taken ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ as a *pendant nominative* of αὐτὸν.

**Τὰ ῥήματα τοῦ θεοῦ**

[18] Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει, ἀλλ᾽ ὁ
γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ αὐτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ.
[19] οἴδαμεν ὅτι ἐκ τοῦ θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ
κεῖται. [20] οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν
διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινόν· καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν
τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ζωὴ
αἰώνιος. [21] Τεκνία, φυλάξατε ἑαυτὰ ἀπὸ τῶν εἰδώλων.

# Appendix A: Core Vocabulary List

The Following list of vocabulary contains the 50 most frequent words in the New Testament. This reader will assume familiarity with these words in their various forms. I have bracketed irregular verb forms.

**ἀκούω** (**ἤκουσα** αor)- to hear (428)
**ἀλλά** - but, yet, except (638)
**ἄνθρωπος, -ου, ὁ** - a man (550)
**ἀπό** - from (gen) (646)
**αὐτός, -ή, -ό** - himself, herself, itself, same; he, she, it (5645)
**γάρ** - for (1041)
**γίνομαι** (**ἐγένετο** 3s aor) - to become, be (669)
**δέ** - but, and (2792)
**διά** - through (gen); on account of (acc) (667)
**δίδωμι** - to give (417)
**ἐγώ, ἡμεῖς** – I, we (2584)
**εἰ** - if (502)
**εἰμί** (**ἦν** 3s impf; **ἔσομαι** 1s Fut) - I am, you are, He/she/it is (2462)
**εἰς** - into (acc) (1767)
**εἷς, μία, ἕν** - one (353)
**ἐκ, ἐξ** - out of, from (gen) (914)
**ἐν** - in (dat) (2752)
**ἐπί** - over, on, at the time of (gen); on the basis of, at (dat); on, to, against (acc) (890)
**ἔρχομαι** (**ἦλθον** aor) - to come, go (634)
**ἔχω** (**ἔσχον** aor) - to have, hold (708)
**ἡμέρα, -ας, ἡ** - a day (389)
**θεός, -οῦ, ὁ** - a god, God (1317)
**Ἰησοῦς** - Jesus, Joshua (917)
**ἵνα** - in order that, that (663)
**καί** - and, even, also (9158)
**κατά** - down from, against (gen); according to, during, throughout (acc) (473)
**κύριος, -ου, ὁ** - a lord, the Lord (717)
**λέγω** (**εἶπον** aor, **ἐρῶ** fut) - to say, speak (2357)
**μετά** - with (gen); after (acc) (469)

**μή** - not, lest (1042)
**ὁ, ἡ, τό** - the (19889)
**ὁράω** (**εἶδον** αor) - to see (455)
**ὅς, ἥ, ὅ** - who, which (1435)
**ὅτι** - that, because, since (1296)
**οὐ, οὐκ** - not, no (1623)
**οὖν** - then, accordingly (499)
**οὗτος, αὕτη, τοῦτο** - this; he, she, it (1403)
**πᾶς, πᾶσα, πᾶν** - all, every, all things (1283)
**πατήρ, πατρός, ὁ** - father (413)
**πνεῦμα, -τος, τό** - a spirit, the Spirit (381)
**ποιέω** - to do, make (572)
**πολύς, πολλή, πολύ** - much, many (plural) (418)
**πρός** - to, towards, with (acc) (700)
**σύ, ὑμεῖς** – you, y'all (2908)
**τις, τι** - someone, something, a certain one, a certain thing, anyone, anything (538)
**τίς** - who? (579)
**τί** what? why? (579)
**υἱός, -οῦ, ὁ** - a son (377)
**Χριστός, -οῦ, ὁ** - Christ, Messiah, Anointed One (529)
**ὡς** - as, that, like, how, about, now (504)

# Appendix B: Methodology

This reader employs the methodology set out in an article by Sears and Bellestrini called *Adapting antiquity.*[10] The production of tiers works backwards, starting with the orignal. Each tier's text serves as the new base-text for the next tier down.

**Tier 4: Original Text**

**Tier 4 to 3: Easier Word Order**

- Choose text. Should be compelling with high frequency words.
- Word order. Poetry should adapt to prose word order. Prose should adapt to shorter sentences.
- Supply. Include words implied by context. Repeat verbs, pronouns, or proper names omitted in the original.

**Tier 3 to 2: Lexical and Grammatical Simplification**

- Replace. Exchange unusual/difficult words for high frequency/guessable words.
- Simplify grammar. Where grammar is complex, seek an alternative way of expressing the same thought through simpler grammar.
- Explainers. Add explanatory words like He = Jesus; it = the message; καὶ = ἀλλὰ (more explicit conjunction).

**Tier 2 to 1: Bare bones of the plot**

- Split. Break up all compound sentences.

---

[10] Lindsay L. Sears and Kevin Ballestrini, "Adapting Antiquity: Using Tiered Texts to Increase Latin Reading Proficiency," *Journal of Classics Teaching* 20, no. 39 (April 2019): 71–77.

- Strip. Simplify grammar and remove superfluous modifiers.
- Replace. Replace all unknown vocab with high frequency known vocab, or explanatory phrases. This is different to tier 3 to 2 in that this tier should have no new words. In tier 3 to 2, the words should be frequent or guessable, but not necessarily known to the students.

# Appendix C: Lesson/Group Plan

This is a basic lesson plan for groups of students doing a reading assignment from this tiered reader.

**Review the vocabulary (λέξεις)**

a. Read the words aloud, along with the accompanying sentences. You need to understand the words **in bold**.
b. Discuss how the pictures or sentences contribute to understanding the new words.
c. Avoid simply translating into English.

**Tier 1 (βαθμὸς ἕν)**

a. Three students should take turns reading the text aloud to the group.
b. Comprehension questions (answer in your own words):
   i. What are the actions/events?
   ii. Who are doing/receiving the actions?
c. Correct each other and clarify where needed.

**Tier 2 (βαθμὸς δύο)**

a. Three students should take turns reading the text aloud to the group.
b. Comprehension questions (answer in your own words):
   i. Are there any new words or grammatical structures? Read them aloud.
   ii. How can tier 1 help you understand new words/grammar?
   iii. Is there any information on *why* or *how* the actions are done?

c. Correct each other and clarify where needed.

**Tier 3 (βαθμὸς τρία)**

a. Three students should take turns reading the text aloud to the group.
b. Comprehension questions (answer in your own words):
    i. Are there any new words or grammatical structures in this tier?
    ii. How can tier 2 help you understand new words/grammar?
    iii. In one sentence, summarize what is happening in the text so far.

**Tier 4 (τὰ ῥήματα τοῦ θεοῦ)**

a. Three students should take turns reading the text aloud to the group.
b. Comprehension questions (answer in your own words):
    i. How has the word order changed in the sentences?
    ii. Which words have been omitted or replaced?
    iii. How can longer sentences be understood by the shorter sentences in tier 3.

God is Light is a humble attempt to make the Greek text of 1 John as comprehensible as possible. With a basic knowledge of Greek grammar and a vocabulary of only 50 words, readers should comprehend the original text of 1 John in Greek.

God is Light uses paraphrases and images to bridge the gap in comprehension for beginning readers. Readers should aim to understand its simple messages directly in the target language, instead of simply decoding Greek into English.

God is Light is best used with a reading group or as a supplement to lectures. However, autodidacts may be surprised how much they are able to comprehend on their own.



**David Bester** is a lecturer at Christ Seminary, Polokwane, South Africa.